# ΑΠΑΝΤΑ, ΜΑΞΙΜΟΥ τοῦ ΟΜΟΛΟΓΗΤΟΥ *

12ος Τόμος - 15 Ε ........ 1
ΚΕΦΑΛΑΙΑ ΘΕΟΛΟΓΙΚΑ ΗΤΟΙ ΕΚΛΟΓΑΙ ........ 1
ΠΡΟΣ ΤΟΝ ΘΕΙΟΤΑΤΟΝ ΒΑΣΙΛΕΑ ΤΟΝ ΑΧΡΙΔΗΝ ........ 138

# 12ος Τόμος - 15 Ε

## ΚΕΦΑΛΑΙΑ ΘΕΟΛΟΓΙΚΑ ΗΤΟΙ ΕΚΛΟΓΑΙ *

ΕΚ ΔΙΑΦΟΡΩΝ ΒΙΒΛΙΩΝ ΤΩΝ ΤΕ ΚΑΘ᾿ ΗΜΑΣ ΚΑΙ ΤΩΝ ΘΥΡΑΘΕΝ

(≡15Ε_010≡> Χάριν παράσχου, Χριστέ, τοῖς ἐμοῖς πόνοις.

ΤΟΥ ΑΓΙΟΥ ΕΦΡΑΙΜ,

Πῶς χρή ἀναγινώσκειν, ἤ ἀναγινώσκοντι προσέχειν.

Ὅταν ταῖς θείαις Βίβλοις προσομιλεῖς, μή ἁπλῶς ἔσο κατεσπουδασμένος ἐπιτρέχων ἐξ ἐπιπολῆς καί διών παρέργως τά γεγραμμένα· ἀλλά κἄν δέοι πολλάκις, καί δίς καί τρίς τά αὐτό ἐπελθεῖν εἰς ἀκρίβειαν, μή παραιτήση. Πλήν ἀλλά καί μέλλων ἀναγινώσκειν, ἤ ἀναγινώσκοντι προσέχειν ἑτέρῳ, δεήθητι πρότερον τοῦ Θεοῦ, «Κύριε, λέγων Ἰησοῦ Χριστέ, διάνοιξον τά ὦτα καί τούς ὀφθαλμούς τῆς καρδίας μου, τοῦ ἀκοῦσαι τῶν λόγων σου καί συνεῖναι, καί τό θέλημά σου ποιῆσαι. Πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ, μή ἀποκρύψης ἀπ' ἐμοῦ τάς ἐντολάς σου. Ἀποκάλυψον τούς ὀφθαλμούς μου, καί κατανοήσω τά θαυμάσια ἐκ τοῦ νόμου σου».

---

* Τό ἔργο τοῦ ἁγίου Μαξίμου χωρίστηκε σέ τόμους καί ἀναγράφονται οἱ σελίδες σύμφωνα μέ τή σειρά "ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ" τῶν ἐκδόσεων "ΤΟ ΒΥΖΑΝΤΙΟΝ" Θεσσαλονίκη 1992, ΦΙΛΟΚΑΛΙΑ ΤΩΝ ΝΗΠΤΙΚΩΝ ΚΑΙ ΑΣΚΗΤΙΚΩΝ, γιά νά μπορεῖ εὔκολα ὁ ἀναγνώστης νά συμβουλεύεται μετάφραση. Τό κείμενο προέρχεται ἀπό τρεῖς πηγές: **1)** ἀπό τήν ἠλεκτρονική βιβλιοθήκη ἑλληνικῶν κειμένων, Thesaurus Linguae Graecae, TLG (http://www.tlg.uci.edu), **2)** κείμενα πού δέν περιλαμβάνονται στό TLG ἀπό τήν πατρολογία τοῦ Migne, τόμος 90ος καί 91ος (τά δακτυλογράφησε ἡ μητέρα τοῦ π. Ἀρσενίου Μέσκου), καί **3)** τά σχόλια στά ἔργα τοῦ ἁγίου Διονυσίου τοῦ Ἀρεοπαγίτη ἀπό τίς ἐκδόσεις ΒΥΖΑΝΤΙΟ, τό κείμενο περάστηκε ἀπό σκάνερ, ἀκολούθησε ὀπτική ἀναγνώριση χαρακτήρων καί ἔλεγχος.

Τόμος καί σελίδα γιά τίς ἐκδόσεις ΒΥΖΑΝΤΙΟ ἀναγράφονται μέ τόν ἀκόλουθο τρόπο: (≡15Β_010≡>, δηλαδή ἀκολουθεῖ ἡ δέκατη σελίδα τοῦ 15Β τόμου. Ἐπίσης ὑπάρχει καί ἔνδειξη γιά τήν σελίδα τῆς πατρολογίας Migne (=0364=) ὅταν τό κείμενο προέρχεται ἀπό ἐκεῖ.

* Τό κείμενο προέρχεται ἀπό τήν πατρολογία τοῦ Migne, τόμος 91ος (τό δακτυλογράφησε ἡ μητέρα τοῦ π. Ἀρσενίου Μέσκου), σέ ἀντιπαράθεση μέ τό κείμενο τῶν ἐκδόσεων "ΤΟ ΒΥΖΑΝΤΙΟΝ" τῆς σειρᾶς "ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ" Θεσσαλονίκη 1992, ΦΙΛΟΚΑΛΙΑ ΤΩΝ ΝΗΠΤΙΚΩΝ ΚΑΙ ΑΣΚΗΤΙΚΩΝ, **τόμος 15 Ε**.

ΛΟΓΟΣ Α΄.

## Περί βίου ἀρετῆς καί κακίας.

(≡15Ε_012≡> Σολομῶντος-- Ἀρετῆς μέν σημεῖον οὐδέν ἔχομεν δεῖξαι· ἐν δέ τῇ κακίᾳ ἡμῶν κατεδαπανήθημεν.

(=724=) Τοῦ αὐτοῦ.- Μή σε πλανήσωσιν ἄνδρες ἀσεβεῖς, μηδέ πορευθῇς ἐν ὁδῷ μετ᾿ αὐτῶν· ἔκκλινον δέ τόν πόδα σου ἀπό τῶν τρίβων αὐτῶν· οἱ γάρ πόδες αὐτῶν εἰς κακίαν τρέχουσιν.

Τοῦ αὐτοῦ- Ὅς καταφρονεῖ πράγματος, καταφρονηθήσεται ὑπ᾿ αὐτοῦ.

Τοῦ αὐτοῦ.-- Ὥσπερ ὄμφαξ ὀδοῦσι βλαβερόν καί καπνός ὄμμασιν, οὕτω παρανομία τοῖς χρωμένοις αὐτῇ.

Σιράχ. -- Ὁ ποιῶν πανηρά, εἰς αὐτόν κυλισθήσεται, καί οὐ μή ἐπιγνῷ πόθεν ἥκει αὐτῷ.

Βασιλείου.- Μόνη κτημάτων ἡ ἀρετή ἀναφαίρετον.

Ἀρετῆς ἄσκησις, τίμιον μέν κτῆμα τῷ ἔχοντι· ἥδιστον δέ θέαμα τοῖς ἐντυγχάνουσιν.

Ὥσπερ γάρ τῷ πυρί αὐτομάτως ἕπεται τό φωτίζειν, καί τῷ μύρῳ τό εὐωδεῖν· οὕτω καί ταῖς ἀγαθαῖς πράξεσιν ἀναγκαίως ἀκολουθεῖ τό ὠφέλιμον.

Ἀρχή πρός τήν ἀνάληψιν τῶν καλῶν ἡ ἀναχώρησις τῶν κακῶν. Ἔκκλινον γάρ, φησίν, ἀπό κακοῦ, καί ποίησον ἀγαθόν.

Θεολόγου. -- Φύσει πρόχειρον ἡ κακία, καί πολύς ἐπί τό χεῖρον ὁ δρόμος, ἤ ῥοῦς κατά πρανοῦς ῥέων, ἤ καλάμη (≡15Ε_014≡> τις πρός σπινθῆρα καί ἄνεμον ῥαδίως ἐξαπτομένη καί γινομένη φλόξ, καί συνδαπανωμένη τῷ οἰκείῳ γεννήματι.

Οὐ πάνυ τι ῥάδιόν ἐστι τῶν ἀρετῶν τήν νικῶσαν εὑρεῖν, καί ταύτῃ δοῦναι τά πρεσβεῖα καί τά νικητήρια· ὥσπερ οὐδέν ἐν λειμῶνι πολυανθεῖ καί εὐώδει τῶν ἀνθέων τό κάλλιστον καί εὐωδέστατον, ἄλλοτε ἄλλου τήν ὄσφρησιν καί τήν ὄψιν πρός ἑαυτό μεθέλκοντος, καί πρῶτον δρέπεσθαι πείθοντος.

Χρυσοστ.-- Σπάνιον ἡ τοῦ ἀγαθοῦ κτῆσις καί πρόσαντες, κἄν εἰ πολύ τό μεθέλκον εἴη καί προκαλούμενον.

Ἄμισθος ἡ ἀρετή, ἵνα καί ἀρετή μείνῃ, πρός τό καλόν μόνον βλέπουσα.

Ποιεῖ περιβοήτους οὐ δεξιά πρᾶξις μόνον, ἀλλά κακία νικῶσα πονηράν εὐδοκίμησιν.

Οὐκ ἔστι τόν ἀρετῆς ἐπιμελούμενον, μή πολλούς ἔχειν ἐχθρούς· ἀλλ᾿ οὐδέν τοῦτο πρός τόν ἐνάρετον· διά γάρ τῶν τοιούτων λαμπρότερος ἔστι μειζόνως.

Πολλοί πολλάκις αὐτάς τάς ἀρετάς διά τούς (=725=) πόνους φεύγοντες, διά τήν ἐξ αὐτῶν εὐφημίαν αἱροῦνται ποιεῖν.

Ὥσπερ τό τῆς ζωῆς τέλος ἀρχή θανάτου ἐστίν, οὕτως καί τοῦ κατ' ἀρετήν δρόμου ἡ στάσις, ἀρχή τοῦ κατά κακίαν γίνεται δρόμου.

Δυσεπίτευκτον μέν εἶναι τήν ἀρετήν, μυρίοις ἱδρῶσι καί πόνοις σπουδῇ καί καμάτῳ μόγις κατορθουμένην, παρά τῆς θείας Γραφῆς ἐδιδάχθημεν.

Χρυσοστ.- Εἰ γάρ τῶν ἐπί γῆς ἀνθρώπων ὁ παραβαίνων τούς νόμους, ἀπαραίτητον ὑφίσταται τήν κόλασιν· πόσῳ μᾶλλον ἀφορήτοις ἐκδοθήσεται βασάνοις, ὁ τοῦ ἐπουρανίου Δεσπότου ἀθετῶν τά προστάγματα;

Ὥσπερ ἐπί τῆς κιθάρας οὐκ ἀρκεῖ μόνον ἐπί μιᾶς νευρᾶς τήν μελωδίαν ἐργάζεσθαι, ἀλλά πάσας ἐπιέναι δεῖ μετά ῥυθμοῦ τοῦ προσηκόντος, οὕτω καί ἐπί τῆς κατά τήν ψυχήν ἀρετῆς, οὐκ ἀρκεῖ ἡμῖν νόμος εἰς σωτηρίαν εἷς, ἀλλά δεῖ πάντας αὐτούς μετά ἀκριβείας φυλάττειν.

(≡15E_016≡> Μή τοίνυν λέγωμεν, ὅτι ὁ δεῖνα φύσει κακός, καί ὁ δεῖνα φύσει καλός. Εἰ γάρ φύσει ἀγαθός, οὐδέποτε δυνήσεται γενέσθαι κακός· καί εἰ φύσει κακός, οὐδέποτε γενήσεται ἀγαθός.

Οὐχ ὑπομένει τό σκότος τήν τοῦ φωτός παρουσίαν· οὐ νόσος ὑγείας ἐπιλαβούσης ἵσταται· οὐκ ἐνεργεῖ τά πάθη τῆς ἀπαθείας παρούσης.

Ἐλευθέραν εἶναι προσήκει παντός φόβου τήν ἀρετήν. Ἀδέσποτον γάρ ἀρετή καί ἑκούσιον, παντός φόβου καί ἀνάγκης ἐλεύθερον.

Οὐκ ἔστιν ἄλλην κακίας γέννησιν ἐννοῆσαι, ἤ ἀρετῆς ἀπουσίαν.

Κλήμεντος. -- Ἡ τῶν κακῶν ἀπαλλαγή σωτηρίας ἐστίν ἀρχή.

Ὡς ἔοικεν, ἡ δικαιοσύνη τετράγωνός ἐστιν, ἴση καί ὁμοία ἐν λόγῳ, ἐν ἔργῳ, ἐν ἀποχῇ κακῶν, ἐν εὐποιΐᾳ, ἐν τελειότητι γνωστικῇ· οὐδαμῇ οὐδαμῶς χωλεύουσα, ἵνα μή ἄδικος καί ἄνισος φανῇ.

Διδύμου. -- Σχηματίζου τήν ἀρετήν, οὐχ ὅπως ἀπατήσῃς, ἀλλ᾽ ὅπως ὠφελήσῃς.

Βασιλείαν Θεοῦ λεκτέον τήν κατάστασιν τῶν κατά τούς θείου νόμους τεταγμένως βιούντων.

Πᾶσα πρακτική ἀρετή ἐν τῷ γίνεσθαι, καί οὐκ ἐν τῷ γεγονέναι, τό εἶναι ἔχει.

Νείλου.- Χαῖρε τήν ἀρετήν ἡνίκα πράττεις· ἀλλά μή ἐπαίρου, μή ποτε τό ναυάγιον ἐν τῷ λιμένι γένηται.

Κυρίλλου.-Χρή τήν ἀρετήν μή χωλεύειν καθ᾽ ἑκάτερον, ἀλλ᾽ ἔργῳ καί λόγῳ ὀρθήν καί ἀπηρτισμένην κατ᾽ ἀμφότερα εἶναι.

(≡15E_018≡> (=728=) Τραχεῖα ἡ ἀρετή, καί ὀρθῶς οἶμος ἐπ᾽ αὐτήν· καί οὐκ ἄν τι ἕλοιτο ταύτην δίχα πόνου μακροῦ.

Ἐκ τῶν Πατέρων. -- Διά τεσσάρων πραγμάτων ἡ ψυχή μιαίνεται· τῷ περιπατεῖν ἐν πόλει καί μή φυλάσσειν τούς ὀφθαλμούς, καί τῷ ὅλως ἔχειν γνῶσιν μετά γυναικῶν, καί τῷ ἔχειν φιλίαν μετά τῶν ἐνδόξων τοῦ κόσμου, καί τῷ ἀγαπῆσαι τάς σαρκικάς ὁμιλίας καί ματαιολογίας.

Πλουτάρχου.-Τῆς ἀγνοουμένης ἀρετῆς ὥσπερ τοῦ κατορωρυγμένου χρυσίου ἡ λαμπρότης οὐ βλέπεται.

Ἡ μέν τροφή τοῖς γυμναζομένοις, ἡ δέ ἀρετή τοῖς πεπαιδευμένοις ἡδεία φαίνεται.

Ὁ βίος καθάπερ νόμισμα διαβληθείς ἐν ἀρχαῖς, εἰς πάντα τόν κόσμον ἀδόκιμος γίνεται.

Ἅπαντα δόκει ποιεῖν, ὡς μηδένα λήσων. Καί γάρ ἄν παραυτίκα κρύψης, ὕστερον ὄφθήση.

Ἀνθρώπου τινός αὐτόν ἀδικήσαντος, καί περιφεύγοντος καί ἀπαντᾷν αἰσχυνομένου, συντυχών ἅπαξ εἶπεν· οὐ δέ χρή ἐμέ φεύγειν, ἀλλ᾽ ἐμέ σέ, φαῦλον ὄντα.

Οὐκ ἔστι κυνός ἀντάξιος οὐδ᾽ ὄνου δειλός ἀνήρ καί ἄναλκις, ὑπό πλούτου καί μαλακίας διεῤῥυηκώς.

Οὕτως ζῆν προαιροῦ, ὡς μήτε τῶν δυνατωτέρων καταφρονεῖσθαι, μήτε τοῖς ὑποδεεστέροις φοβερός εἶναι.

Δημοσθ. -- Ὥσπερ οἰκίας, οἶμαι, καί πλοίου καί τῶν ἄλλων τῶν τοιούτων, τά κάτωθεν ἰσχυρότερα εἶναι δεῖ· οὕτω καί τῶν πράξεων τάς ἀρχάς καί τάς ὑποθείσεις, ἀληθεῖς καί δικαίας.

Κλειτάρχου.- Μή τό ἔχειν ἀρετήν καλόν νόμιζε, ἀλλά τό ὡς δεῖ καί ὑπέρ ὧν δεῖ.

(≡15E_020≡> Ἀρετήν μέν ἔχων, πάντα ἕξεις· κακίαν δέ, οὐδέ σεαυτόν.

Σωκράτης. -- Θεασάμενός τινα τῶν μαθητῶν αὐτοῦ, τοῦ μέν ἀγροῦ ἐπιμελούμενον, τῆς πράξεως δέ ἀμελοῦντα· Ὅρα, ὦ οὗτος, ἔφη, μή τόν ἀγρόν ἐξημερῶσαι βουλόμενος, τήν ψυχήν ἀγριώσης.

Καταμαθών δέ τινα τῶν γνωρίμων ἐσπουδακότα ὅπως αὐτῷ ἡ εἰκών ὁμοία γένηται, πρός αὐτόν εἶπε. Σύ ὅπως μέν σοι ὁ λίθος ὅμοιος γένηται ἐσπούδακας· ὅπως δέ μή αὐτός λίθῳ ὅμοιος γένη, οὐ φροντίζεις.

Δημώνακτ.- Τούς τῶν σωμάτων ἐπιμελουμένους, ἑαυτῶν δέ ἀμελοῦντας ὠνείδιζεν, ὡς τῶν μέν οἴκων ἐπιμελουμένους, τῶν δέ ἐνοίκων ἀμελοῦντας.

Δημόκριτ.- Τάς μέν γραμμάς ἀσφαλεστέρας, τάς δέ πράξεις λαμπροτέρας ἔχειν δεῖ.

(=729=) Θεοῦ ἄξιόν σε ποιήσει, τό μηδέν ἀνάξιον αὐτοῦ πράττειν.

Βίας. - Οὕτω πειρῶ ζῆν, ὡς καί ὀλίγον καί πολύν χρόνον βιωσόμενος.

Λάκων. - Λάκων ἐρωτηθείς, διατί ἀτείχιστός ἐστιν ἡ Σπάρτη· Μή ψεύδου, ἔφη· τετείχισται γάρ ταῖς τῶν οἰκούντων ἀρεταῖς.

Διογένης, - Ὀνειδίσαντος αὐτῷ τινος, ὡς εἰς ἀκαθάρτους τόπους εἰσέρχεται, ἔφη· Καί ὁ ἥλιος, ἀλλ' οὐ μιαίνεται.

Λινδίου. - Εὐσέβεαιν δεῖ φυλάσσειν· πολίταις τά βέλτιστα συμβουλεύειν· ἡδονῆς κρατεῖν· βίᾳ μηδέν πράττειν· τόν τοῦ δήμου ἐχθρόν πολέμιον νομίζειν· οἰκέτας μεθύοντας μή κολάζειν· εἰ δέ μή, δόξεις παροινεῖν.

Λυκούργου.--Λυκοῦργος ὁ νομοθέτης, τό μέν ἀξιόχρεων τῶν ἀνθρώπων ἔφη ἐν τῇ οὐσίᾳ κεῖσθαι· τό δέ ἀξιόπιστον, ἐν τοῖς τρόποις.

Πυθαγόρου. - Φιλήδονον, φιλοσώματον, φιλοχρήματον καί (≡15Ε_022≡> φιλόθεον τόν αὐτόν, ἀδύνατον εἶναι. Ὁ γάρ φιλήδονος πάντως καί φιλοχρήματος· ὁ δέ φιλοχρήματος, ἐξ ἀνάγκης καί ἄδικος· ὁ δέ ἄδικος, εἰς μέν Θεόν ἀνόσιος, εἰς δέ ἄνθρωπον παράνομος.

Ὧν τοῦ σώματος ἀπαλλαγείς οὐ δεήσῃ, πρός ταῦτά σοι ἀσκουμένῳ Θεόν παρακάλει γίνεσθαι συλλήπτορα.

Διοδώρου. - Πάντες ἄνθρωποι διά τήν τῆς φύσεως ἀσθένειαν, βιοῦσι μέν ἀκαριαῖόν τι μέρος τοῦ παντός αἰῶνος· τετελευτήκασι δέ πᾶν τόν ὕστερον χρόνον. Καί τοῖς μέν ἐν τῷ ζῆν μηδέν ἀξιόλογον πράξασι, ἅμα ταῖς τῶν σωμάτων τελευταῖς συναποθνήσκει καί τά ἄλλα πάντα κατά τόν βίον· τοῖς δέ δι᾽ ἀρετήν περιποιησαμένοις δόξαν, αἱ πράξεις ἅπαντα τόν αἰῶνα μνημονεύονται, διαβοώμεναι τῷ θειοτάτῳ τῆς ἱστορίας στόματι.

Ὑπερίδου. - Δεῖ τόν ἀγαθόν ἐπιδείκνυσθαι, ἐν μέν τοῖς λόγοις, ἅ φρονεῖ· ἐν δέ τοῖς ἔργοις, ἅ ποιεῖ.

Ἰττάχου φιλοσόφ. - Τούς ἀγαθούς τῶν ἀνθρώπων, Θεοῦ τι μέρος ἔχειν.

Ἀριστοτέλ. - Θεοῦ μέν ἐστι πράττειν ἅ βούλεται· ἀνθρώπου δέ, τά δέοντα προθυμεῖσθαι.

Ἀντιφάνους. - Ὅταν εὐπορῶν τις αἰσχρά πράττῃ πράγματα, τί τούτων ἀπορήσαντα πράξειν προσδοκᾷς.

ΛΟΓΟΣ Β΄.

## Περί φρονήσεως καί βουλῆς.

(≡15Ε_024≡> Σιράχ μ΄. - Χρυσίον καί ἀργύριον ἐπιστήσουσι πόδας, καί ὑπέρ ἀμφότερα βουλή εὐδοκιμήσει.

Σιράχ κβ΄. - Ἱμάντωσις ξυλίνη ἐνδεδεμένη εἰς οἰκοδομήν, ἐν σεισμῷ οὐ διαλυθήσεται· οὕτω καρδία ἐστηριγμένη ἐπί διανοήμασι βουλῆς, ἐν καιρῷ οὐ δειλιάσει.

Βασιλείου. - Διπλοῦν ἐστι τό τῆς φρονήσεως ὄνομα. Ἡ μέν γάρ τίς ἐστι φυλακτική τοῦ οἰκείου συμφέροντος, οἵα ἡ τοῦ ὄφεως τήν κεφαλήν ἑαυτοῦ συντηροῦντος· ἡ δέ τις ἔοικεν εἶναι κακεντρέχεια τρόπων, ὀξέως τό ἴδιον λυσιτελές ἐξευρίσκουσα καί συναρπάζουσα τούς ἀκεραιοτέρους· ὁποία ἦν ἡ τοῦ οἰκονόμου τῆς ἀδικίας. Ἡ δέ ἀληθής φρόνησις, διάγνωσίς ἐστι τῶν τε ποιητέων καί οὐ ποιητέων· ᾗ ὁ ἐπακολουθῶν, οὐδέποτε τῷ ὀλέθρῳ τῆς κακίας περιπαρήσεται. Ὁ τοίνυν νοῶν λόγους φρονήσεως, οἶδεν τίνες μέν σοφισματώδεις, τίνες δέ οἱ κατά βίον πρακτέοι καί τά βέλτιστα ἡμῖν ὑποτιθέμενοι· καί ὡς δόκιμος τραπεζίτης, τό μέν καλόν καθέξει, ἀπό δέ παντός εἴδους πονηροῦ ἀφέξεται.

Ὁ γάρ τό τοῦ ὄφεως φρόνιμον περί τό κακόν, τό τε τῆς περιστερᾶς ἀκέραιον περί τό καλόν ἀναμίξας, οὔτε τό φρόνιμον ἐάσει κακουργόν γενέσθαι, οὔτε τό ἁπλοῦν ἀνόητον.

Χρυσοστ. -- Πηγή καί μήτηρ καί ῥίζα φρονήσεως, ἡ ἀρετή· ὥσπερ καί πᾶσα πονηρία ἐξ ἀνοίας ἔχει τήν ἀρχήν, (≡15E_026≡> ὥσπερ δή καί ὁ Προφήτης φησίν· Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου, ἀπό προσώπου τῆς ἀφροσύνης μου. Ὁ δέ ἐνάρετος καί φόβον Θεοῦ ἔχων, πάντων ἐστί συνετώτερος. Διό καί τίς φησιν· Ἀρχή σοφίας φόβος Κυρίου.

Ἰγνατίου. - Τέλειοι ὄντες, τέλεια φρονεῖτε. Θέλουσι γάρ ὑμῖν εὖ πράττειν, Θεός ἕτοιμος εἰς τό παρέχειν.

Πλουτάρχ. - Ἡ φρόνησις, οὐ σωμάτων, ἀλλά πραγμάτων ὄψις ἐστί, πρίν ἐν αὐτοῖς γενέσθαι τόν ἄνθρωπον· ὅπως ἄριστα χρήσεται τοῖς ἀπαντῶσι καί προστυγχάνουσι, παρέχουσα διασκοπεῖν τό μέλλον. Τό μέν οὖν σῶμα, πρόσω που μόνον ὡμμάτωται· (=733=) τοῖς δέ ὄπισθεν, τυφλόν ἐστιν. Ἡ δέ διάνοια, καί τά παρῳχημένα βλέπειν τῇ μνήμῃ πέφυκεν.

Ἄφρων αὐθημερόν ἐξαγγέλλει ὀργήν αὐτοῦ.

Πᾶς ἄφρων, εὐθύς καί μικρόψυχος· οὐ γάρ ἐστι πάγιος.

Εἰ ποτέ τινα ἑώρακεν ἁμαρτάνοντα, ἔλεγε· Μήποτε καί ἐγώ τοιούτῳ περιπέσω.

Μενάνδρου. - Ἅπαντα δοῦλα τοῦ φρονεῖν καθίσταται.

Βουλευόμενοι παραδείγματα ποιοῦνται παρεληλυθότα τῶν μελλόντων. Τό γάρ ἀφανές, ἐκ τοῦ φανεροῦ ταχίστην ἔχει τήν διάγνωσιν.

Ἰσοκράτ. - Ὁ κακῶς διανοηθείς περί τῶν οἰκείων, οὐδέποτε καλῶς βουλεύσεται περί τῶν ἀλλοτρίων.

Δημώνακτ. - Ἐν ἀλλοτρίοις παραδείγμασι παίδευε σεαυτόν, καί ἀπαθής τῶν κακῶν ἔσῃ.

Ἀριστείδου. - Τό μέν νικᾷν ἐν ταῖς μάχαις, καί τοῖς φαύλοις πολλάκις περιγίνεται· φρονήσει δέ καί σοφίᾳ κρατεῖν δύνασθαι, μόνον ἐστί τῶν εἰδότων βουλεύεσθαι.

(≡15E_028≡> Γαΐου. - Σωφρονέστερον οἶμαι τοῦ μετά τοῦ πάθους ἐγκαλεῖν, τό πρί παθεῖν φυλάξασθαι τοῦ μή παθεῖν.

Σόλωνος. - Συμβούλευε, μή τά ἥδιστα, ἀλλά τά ἄριστα.

Ἐπικτήτου. - Βουλεύου πολλά περί τοῦ λέγειν τι ἤ πράττειν· οὐ γάρ ἕξεις ἄδειαν ἀνακαλέσασθαι τά λεχθέντα ἤ πραχθέντα.

Βίας. - Τό μέν ἰσχυρόν τῷ σώματι γενέσθαι, φύσεως ἔργον· τό δέ λέγειν τά συμφέροντα τῇ πατρίδι, ψυχῆς ἴδιον καί φρονήσεως.

Ὁ αὐτός ἐρωτηθείς, τίς ἄριστος σύμβουλος, ἔφη· Ὁ καιρός.

Τούς φρονίμους ἔλεγε μᾶλλον ὑπό τῶν ἀφρόνων, ἤ τούς ἄφρονας ὑπό τῶν φρονίμων ὠφελεῖσθαι· τούτους μέν γάρ φυλάττεσθαι τάς ἐκείνων ἁμαρτίας· ἐκείνους δέ, τάς τούτων μή μιμεῖσθαι κατορθώσεις.

Δεῖ τόν ἀγαθόν ἄνδρα, μεμνῆσθαι μέν τῶν γενομένων, πράττειν δέ τά ἐνεστῶτα· περί δέ τῶν μελλόντων ἀσφαλίζεσθαι.

(=736=) Μία ἐστίν ἀρχή τοῦ καλῶς βουλεύεσθαι, τό γνῶναι περί ὅτου ὁ λόγος· εἰ δέ μή, τοῦ παντός ἁμαρτάνειν ἀνάγκη.

Εὐριπίδου ἐν Ἀντιόπῃ.
Ψυχῇ μέγας χαλινός ἐστιν ὁ νοῦς.
Τό δ᾽ ἀσθενές μου καί τό θῆλυ σώματος
Κακῶς ἐμέμφθης· εἰ γάρ εὖ φρονεῖν ἔχω,
Κρεῖσσον τόδε ἐστί καρτεροῦ βραχίονος.

Σοφοκλέοις ἐν Αἴαντι.
Ἐκ τῶνδε μέντοι τῶν τρόπων οὐκ ἄν ποτε
Λατάστασις γένοιτ᾽ ἄν οὗδενός νόμου·
Εἰ τούς δίκῃ νικῶντας ἐξωθήσομεν,
Καί τούς ὄπισθεν εἰς τό πρόσθεν ἄξομεν.

(≡15E_030≡> Ἀλλ᾽ εἰκτέον τάδ᾽ ἐστίν· οὐ γάρ οἱ πλατεῖς,
Οὐδ᾽ εὐρύνωτοι φῶτες ἀσφλέστατοι,
Ἀλλ᾽ οἱ φρονοῦντες εὖ κρατοῦσι πανταχοῦ.
Μέγας δέ πλευράς βοῦς, ὑπό σμικρᾶς ὅμως
Μάστιγος ὀρθός εἰς ὁδόν πορεύεται.
Ὁ γάρ φρονῶν εὖ, πάντα συλλαβών ἔχει.

**ΛΟΓΟΣ Γ΄.**

## Περί ἁγνείας καί σωφροσύνης.

(≡15E_032≡> Ἰώβ λα΄. - Εἰ ἐξηκολούθησεν ἡ καρδία μου γυναικί ἀνδρός ἑτέρου· εἰ δέ καί ἐγκάθετος ἐγενόμην ἐπί ταῖς θύραις αὐτῆς, ἀρέσαι καί ἡ γυνή μου ἑτέρῳ.

Σοφίας. - Μακαρία στεῖρα ἀμίαντος, ἥτις οὐκ ἔγνω κοίτην ἐν παραπτώματι· ἕξει καρπόν ἐν ἐπισκοπῇ ψυχῶν.

Κρεῖσσον παρθενία μετ᾽ ἀρετῆς· ἀθάνατός ἐστιν ἡ μνήμη αὐτῆς· ὅτι καί παρά Θεῷ γινώσκεται καί παρά ἀνθρώποις. Παροῦσάν τε μιμοῦνται αὐτήν, καί ποθοῦσιν ἀπελθοῦσαν· καί ἐν τῷ αἰῶνι στεφανοφοροῦσα πομπεύει, τόν τῶν ἀμιάντων ἄθλων ἀγῶνα νικήσασα.

Σιράχ. - Ὁ ἀντοφθαλῶν ἡδοναῖς, στεφανοῖ ζωήν αὐτοῦ.

Ματθ. ιθ΄ - Οὐ πάντες χωροῦσι τόν λόγον τοῦτον, ἀλλ᾽ οἷς δέδοται.

Εἰσίν εὐνοῦχοι, οἵτινες ἐκ κοιλίας μητρός αὐτῶν ἐγενήθησαν οὕτως, κ. τ. ε

Βασιλείου. - Οὔτε οὖν ἐπί σωφροσύνῃ ἐπαινεῖσθαι προσήκει τούς ἀποκοπτομένους τά μόρια. Οὐδέ γάρ τούς ἵππους ὡς μή κερατίζοντας, οὐδέ τούς βοῦς ὡς μή λακτίζοντας ἐπαινοῦμεν· ἀλλά τούτους μέν, εἰ μή λακτίζουσιν, ἐπαινέσομεν· τοῖς δέ βουσίν, εἰ μή κερατίζουσι, τῆς ἡμερότητος ἀποδεξόμεθα. Οὐ γάρ ἐν ᾧ μή δύναταί τις, ἀλλ᾽ ἐν ᾧ δυνάμενος οὐκ εἰς ἀδικίαν κέχρηται τῇ δυνάμει, θαυμάζεται.

(=737=) Νεκρός οὐ στεφανοῦται. Οὐδείς δίκαιος δι᾽ ἀδυναμίαν κακοῦ.

(≡15Ε_034≡> Δεῖ οὖν τόν νοῦν ὥσπερ τινά κυβερνήτην ἄνω καθήμενον τῶν παθῶν, καί οἱονεί πλοίῳ τῆς σαρκός ἐπιβάντα· καί ἐμπείρως τούς λογισμούς ὥσπερ οἴακας περιστρέφοντα, καταπατεῖν γενναίως τά κύματα· ὑψηλότερον δέ διαμένοντα καί δυσπρόσιτον ὄντα τοῖς πάθεσιν, μηδαμοῦ τῆς ἀπ᾽ αὐτῶν πικρίας, ὥσπερ ἅλμης τινός, ἀναπίμπλασθαι.

Θεολόγου. - Σύνοικον αἱροῦ μηδ᾽ ἀδελφόν ῥᾳδίως.

Ὑπέκκαυμα γάρ τῆς νόσου τί δεῖ βλέπειν;

Κρεῖσσον κατηφές ἦθος, ἤ τεθρυμμένον.

Μύρον δοχεῖον σαπρόν οὐ πιστεύεται.

Οὔτε φλόξ μένει τῆς ὕλης δαπανηθείσης, ἀλλά τῷ ἀνάπτοντι συναπέρχεται· οὔτε λογισμός ἐμπαθής ὑφίσταται μαραινομένου τοῦ ὑπεκκαύματος.

Ὀφθαλμός πορνεύων οὐ φυλάσσει τήν παρθενίαν. Γλῶσσα πορνεύουσα τῷ πονηρῷ μίγνυται. Πόδες ἄτακτα βαίνοντες ἐκκαλοῦνται νόσον ἤ κίνδυνον τῷ νῷ. Παρθενευέτω καί ἡ διάνοια· μή ῥεμβέσθω καί πλανάσθω. Μή τύπους ἐν ἑαυτῇ φερέτω πονηρῶν πραγμάτων. Καί ὁ τύπος, μέρος πορνείας ἐστί. Μή εἰδωλοποιείτω τῇ ψυχῇ τά μισούμενα.

Χρυσοστ. - Χλεύη, τά μέν τῆς παιδοποιίας ὄργανα τηρεῖν παρθένα, τήν δέ γλῶσσαν μή τηρεῖν. ἤ γλῶσσαν μέν τηρεῖν, τήν δέ ὅρασιν ἤ τήν ἀκοήν ἤ τάς χεῖρας μή τηρεῖν· ἤ ταῦτα μέν ἔχειν καί τηρεῖν παρθένα, τήν δέ καρδίαν μή τηρεῖν, ἀλλ᾽ ἑταιρίζεσθαι τύφῳ καί θυμῷ.

Μή καταμαλάττωμεν ἡμῶν τήν ἰσχύν, μηδέ ἐκκόπτωμεν τά νεῦρα ταῖς ὁμιλίαις ταύταις. Καί γάρ ἄφατος καί πολλή ταῖς ψυχαῖς ἡμῶν ἐντεῦθεν εἰσρεῖ κακία. Τί γάρ, εἰ καί μή αἰσθανώμεθα, τῇ φιλίᾳ μεθύοντες; Τοῦτο γάρ αὐτό πάντων ἐστί δεινότατον, ὅτι οὐδέ ἴσμεν ὅπως ἐκνευριζόμεθα, καί κηροῦ παντός γινόμεθα μαλακώτεροι. Καθάπερ γάρ τις λέοντα γαῦρον καί βλοσυρόν λαβών, εἶτα ἀποκείρας μέν τήν κόμην, ἀνελών δέ τούς (≡15Ε_036≡> ὀδόντας, καί περιελών τούς ὄνυχας, αἰσχρόν ποιεῖ καί καταγέλαστον, καί παιδίοις εὐκαταγώνιστον, τόν φοβερόν καί

ἀφόρητον, καί ἀπό μόνου τοῦ βρυχήματος τά πάντα σείοντα· οὕτω δή καί αὗται, πάντας ὅσους ἐάν λάβωσιν, εὐχειρώτους τῷ διαβόλῳ ποιοῦσι· μαλακωτέρους, θερμοτέρους, ἀναισχύντους, ἀνοήτους, ἀροχόλους, θρασεῖς, ἀκαίρους, ἀγενεῖς, ἀπηνεῖς, δουλοπρεπεῖς, ἀνελευθέρους, ἰταμούς, φλύαρους· καί ἁπλῶς πάντα τά γυναικεῖα πάθη τά διεφθαρμένα φέρουσαι, εἰς τήν τύτων ἐναπομάττονται ψυχήν. Ἀμήχανον γάρ τόν γυναικί συνοικοῦντα μετά συμπαθείας τοσαύτης, καί ταῖς ἐκείνων ἐνστρεφόμενον ὁμιλίαις, μή ἀγύρτην τινά εἶναι, καί ἀγοραῖον καί συρφετώδη. Κἄν (740) γάρ φθέγγηταί τι, πάντα ἀπό τῶν ἱστῶν καί τῶν ἐρίων φθέγξεται, τῆς γλώττης αὐτοῦ τῇ ποιότητι τῶν γυναικείων ἀναχρωσθείσης ῥημάτων· κἄν ποιῇ τι, μετα πολλῆς τοῦτο ἐργάζεται δουλοπρεπείας, πόῤῥω τῆς τοῖς Χριστανοῖς πρεπούσης ἐλευθερίας ἑαυτόν ἀποικίσας, καί οὐδέ πρός οὐδέν τῶν μεγάλων κατορθωμάτων γενόμενος χρήσιμος.

Γρηγορ. Νύσσης. - Μακαρίζει ὁ Κύριος, οὐ τούς ἔξω πάθους βιοτεύοντας (οὐ γάρ δυνατόν ἐν ὑλώδει ζωῇ τόν ἄϋλον καθόλου καί ἀπαθῆ καατορθωθῆναι βίον) , ἀλλά πρός τάς τῆς φύσεως ὁρμάς βραδέως καί δυσκινήτως ἔχοντας.

Πάσης ὄντως κακίας οἷόν τι δέλεαρ ἡ ἡδονή προβληθεῖσα, εὐκόλως τάς λιχνοτέρας ψυχάς ἐπί τό ἄγκιστρον τῆς ἀπωλείας ἐφέλκεται.

Κλήμεντος. - Παρθένων φθορά λέγεται, οὐ μόνον πορνεία, ἀλλά καί ἡ πρό καιροῦ ἔκδοσις· ὅταν, ὡς εἰπεῖν, ἄωρος ἐκδοθῇ τῷ ἀνδρί, ἤτοι ἀφ᾽ ἑαυτῆς , ἤ παρά τῶν γονέων.

Ἐκ τῶν Πατέρων. - Διά τεσσάρων πραγμάτων ἐγείρεται ἡ πορνεία, ἐκ τοῦ φαγεῖν καί πιεῖν εἰς πλησμονήν· καί ὁ κόρος τοῦ ὕπνου, καί τό ἀργεῖν καιί παίζειν καί ἀργολογεῖν· καί ὁ καλλωπισμός τῶν ἱματίων.

Νείλου. - Ἀπόστησον ἀπό τῆς συμβίου σου τόν εὐνοῦχον (≡15Ε_038≡> Σμάραγδον· κἄν γάρ δοκοίη τῶν κάτω διδύμων ἐκτετμῆσθαι, ἀλλ᾽ ἄνω ἔχει ἐν τῷ προσώπῳ πως τούς διδύμους ὀφθαλμούς, ἐμπαθῶς ἐμβλέποντας, καί ἐπισυρομένους ἤδη πονηράς μαρτυρίας.

Κυρίλλου. - Καπνοῦ δίκην, ἤ καί ὥπερ τινές ἀτμοί τῶν ἐμφύτων ἡδονῶν ἀνίσχουσιν ἐν ἡμῖν αἱ ὀρέξεις. Ἀλλ᾽ ὁ μέν σώφρων καί νεανικός, ἐπιτιμᾷ τοῖς κινήμασι, καί περαιτέρω προελθεῖν οὐκ ἐᾷ· ᾧ καί ἀδρανές ὄν ἔτι τό πάθος ἥττηται ῥᾳδίως· ὁ δέ ῥᾴθυμος καί κατημελημένος, εἰσδέχεται μέν τάς τῶν ἡδονῶν ἀρχάς ὡς ἐννοίας ἔτι ψιλάς· ἐπιτρέψας δέ προελθεῖν εἰς πλάτος, δυσχερεστάτην εὑρήσει τήν ἀντίστασιν. Ὁ γάρ προαλούς καί προηττημένος, οὐ τῶν ἰδίων ἐστίν θελημάτων Κύριος· ὑπόκειται δέ μᾶλλον καθάπερ τινί Βαρβάρῳ τῷ νικήσαντι πάθει.

Μενάνδρου.

Ταμεῖόν ἐστιν ἀρετῆς ἡ σωφροσύνη.

Ἰαμβλίχου ἐξ Ἐπιστολῶν περί σωφροσύνης.

(=741=) Πᾶσα μέν ἀρετήν τό θνητοειδές πᾶν ἀτιμάζει, τό δέ ἀθάνατον ἀσπάζεται. Πολύ δέ διαφερόντως ἡ σωφροσύνη ταύτην ἔχει τήν σπουδήν, ἅτε δή τάς προσηλούσας τῷ σώματι τήν ψυχήν ἡδονάς ἀτιμάζουσα, καί ἐν ἁγνοῖς βάθροις βεβῶσα, ὥς φησι Πλάτων. Πῶς γάρ ἡ σωφροσύνη τελείους ἡμᾶς οὐ ποιεῖ, τό ἀτελές καί ἐμπαθές ὅλον ἀφ᾽ ἡμῶν ἐξορίζουσα; Γνοίης δ᾽ ἄν ὡς τοῦτο οὕτως ἔχει, τόν Βελλεροφόντην ἐννοήσας, ὡς μετά τῆς κοσμιότητος συναγωνιζόμενος, τήν Χίμαιραν καί τό θηριῶδες καί ἄγριον καί ἀνήμερον φῦλον πᾶν ἀνεῖλεν. Ὅλως γάρ ἡ τῶν παθῶν ἄμετρος ἐπικράτεια οὐδέ ἀνθρώπους ἀφίησιν εἶναι τούς ἀνθρώπους, πρός δέ τήν ἀλόγιστον αὐτούς ἕλκει φύσιν καί θηριώδη καί ἄτακτον.

Μέμνησο λιμοῦ καί δίψους· ταῦτα γάρ δύνανται μεγάλως τοῖς σωφροσύνην διώκουσιν.

Ἔκ τῶν Ἀριστογνοππουμμῶν. - Κρατεῖ ἡδονῆς, οὐχ ὁ ἀπεχόμενος, ἀλλ᾽ ὁ χρώμενος μέν, μή προεκφερόμενος δέ· ὥσπερ (≡15E_040≡> καί νηός καί ἵππου, οὐχ ὁ μή χρώμενος, ἀλλ᾽ ὁ μετάγων ὅπου βούλεται.

Ἡσαίου. - Ἡγοῦμαι μεγίστην εἶναι τῶν λειτουργιῶν, τό καθ᾽ ἡμέραν βίον κόσμιον καί σώφρονα παρέχειν.

Σωκράτ. - τό μέν πῦρ, ὁ ἄνεμος, τόν δέ ἔρωτα, ἡ συνήθεια ἐκκαίει.

Ἀλέξανδρ. - Αἰχμαλώτους λαβών τάς Δαρείου θυγατέρας, ἐπειδή συνεβούλευον αὐτῷ οἱ φίλοι, εὐειδέσιν οὔσαις αὐταῖς συγγενέσθαι· Αἰσχρόν, ἐφη, ἐστίν, ἄνδρας νικήσαντας, ὑπό γυναικῶν ἡττηθῆναι.

Ὁ αὐτός εἰς Ἰλλυριούς παραγενόμενος, ἐν τῷ τοῦ Διός βωμῷ κατιδών γυναῖκα κάλλει διαφέρουσαν, ἐκπλαγείς αὐτῆς τήν εὐμορφίαν, πολύν χρόνον ἐθεᾶτο· τοῦ δέ Ἡφαιστίωνος εἰπόντος, ὅτι εἰκός ἐστι παραλαβεῖν αὐτήν ἐρωμένην, ἔφη, Καί πῶς οὐ δεινόν, εἰ οἱ ἄλλων ἀκρασίας κολάζειν βουλόμενοι, δουλεύοντες ἀκρασίαις ὑπό τῶν ἐκτός ἀνθρώπων φωραθῶμεν;

Κλειτάρχου. - Φιλῶν ἅ μή δεῖ, οὐ φιλήσεις ἅ δεῖ. Ἀπλήρωτον γάρ ἡ ἐπιθυμία, διά τοῦτο καί ἄπορον.

Διογένης. - Δεινόν ἔλεγεν, εἰ οἱ μέν ἀθληταί καί οἱ κιθαρῳδοί, γαστρός καί ἡδονῶν κρατοῦσιν, οἱ μέν τῆς φωνῆς χάριν· οἱ δέ, τοῦ σώματος· σωφροσύνης δέ ἕνεκα, οὐδείς τούτων καταφρονήσει.

(=744=) Δημώνακτ. - Ἔνιοι πόλεων μέν δεσπόζουσι, γυναιξί δέ δουλεύουσι.

Ἀντιφῶντ. - Ὅστις δέ τῶν αἰσχρῶν, ἤ τῶν κακῶν, μήτε ἐπεθύμησε, μήτε ἥψατο, οὐκ ἔστι σώφρων· οὐ γάρ ἔσθ᾽ ὅτου κρατήσας, αὐτός ἑαυτόν κόσμιον παρέχεται.

Ἐπικτήτου. - Οὐδείς ἐλεύθερος, ἑαυτοῦ μή κρατῶν.

Πυθαγόρου. - Ῥώμη ψυχῆς ἀπαθοῦς, σωφροσύνη. Αὕτη γάρ ψυχῆς ἀπαθοῦς φῶς ἐστιν.

(≡15E_042≡> Δουλεύειν παθεσι χαλεπώτεερον ἤ τυράννοις. Ἐλεύθερον ἀδύνατον εἶναι τόν πάθεσι δουλεύοντα, καί ὑπό παθῶν κρατούμενον.

Σοφοκλέους. - Ζῆν αἰσχρόν αἰσχρῶς τοῖς καλῶς πεφυκόσι.

Δημοσθ. - Δεῖ τον εὖ φρονοῦντα, τόν λογισμόν ἀεί τῶν ἐπιθυμιῶν κρείττω πειρᾶσθαι ποιεῖν.

Δημήτριος. - Δημήτριος ὁ Φαληρεύς, τούς ἀστείους εἶπε τῶν νέων, ἐν μέν ταῖς οἰκίαις τούς γονεῖς δεῖνα ἰδεῖσθαι· ἐν δέ τῇ ὁδῷ, τούς ἀπαντῶντας· ἐν δέ ταῖς ἐρημίαις, ἑαυτούς.

Μενέδημος. - Μενέδημος, νεανίσκου τινός εἰπόντος, Μέγα ἐστί τό τυχεῖν ὧν ἄν τις ἐπιθυμῇ, εἶπεν· Πολλῷ μεῖζόν ἐστι τό μηδέν ἐπιθυμεῖν ὧν μή δεῖ.

Βίας. - Βίας ὁ Πριηνεύς, εἶπε· Μακάριός ἐστιν ὁ πλουτῶν, καί ὧν ἐπιθυμεῖ ἀπολαύων· ὁ δέ μή ἐπιθυμῶν, μακαριώτερος.

Ξάνθου. - Ξάνθος ὁ σοφός, θεασάμενος ἐπί θύραις εὐπρεποῦς γυναικός ἄνδρα οἰκοφθόρον, ἔφη· Οὗτος ἡδονήν μικράν ὠνεῖται μεγάλῳ κινδύνῳ.

Χαρικλείας. - Ἡ γάρ τῶν ἐρωτικῶν ἀντίβλεψις, ὑπόμνησις τοῦ πάσχοντος γίνεται, καί ἀναφλέγει τήν διάνοιαν ἡ θέα, καθάπερ ὕλη πυρί γενομένη ὑπέκκαυμα. Ὑπέκκαυμα γάρ ἐπιθυμίας λόγος ἐρωτικός.

**ΛΟΓΟΣ Δ΄.**

## Περί ἀνδρείας καί ἰσχύος.

(≡15E_044≡> Ματθ. ις΄. - Εἴ τις θέλῃ ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν, καί ἀράτω τόν σταυρόν αὑτοῦ, καί ἀκολουθείτω μοι.

Παροιμ. κα΄. - Οὐκ ἔστιν ἀνθρώπῳ σοφία, οὐδέ ἔστιν ἀνδρεία, οὐδέ ἔστι βουλή κατέναντι Κυρίου.
(=745=) Ἵππος ἑτοιμάζεται εἰς ἡμέραν πολέμου· παρά δέ Κυρίου βοήθεια.

Συράχ ιγ΄. - Ἰσχυροτέρῳ σου μή κοινώνει. Τί κοινωνήσει χύτρα πρός λέβητα; αὕτη προσκρούσει, καί αὕτη συντριβήσεται.

Ἐφ. στ'. - Ἐνδύσασθε τήν πανοπλίαν Θεοῦ, πρός τό δύνασθαι ὑμᾶς στῆναι πρός τάς μεθοδείας τοῦ διαβόλου, κ. τ. ἑ.

Βασιλείου. - Ὑπένεγκεν τοίνυν οὐκ ἀπαθῶς οὐδ᾽ ἀναισθήτως. Τίς γάρ μισθός ἀναλγησίας; ἀλλ᾽ ἐπιπόνως μέν καί σύν ἀλγηδόσι μυρίαις, πλήν ὑπένεγκε, ὥσπερ τις γενναῖος ἀγωνιστής, τήν ἰσχύν καί τήν ἀνδρείαν, οὐ μόνον ἐκ τοῦ τύπτειν τούς ἀντιπάλους, ἀλλά καί ἐκ τοῦ φέρειν στεῤῥῶς τάς παρ᾽αὐτῶν πληγάς ἐπιδεικνύμενος· καί ὥσπερ τις κυβερνήτης σοφός καί ἀτάραχος ὑπό τῆς ἄγαν περί τόν πλοῦν ἐμπειρίας, ὀρθήν καί ἀβάπτιστον καί παντός χειμῶνος ὑψηλοτέραν τήν ψυχήν διασώζων.

Θεολόγου. - Θάρσος καί θράσος, κἂν τοῖς ὀνόμασι πλησιάζει, πλεῖστον ἀλλήλων τῇ δυνάμει κεχώρισται· ἀνδρείαν τε εἶναί φαμεν καί ἀνανδρείαν. Τό μέν γάρ ἐν τοῖς τολμητέοις θαῤῥεῖν, ἀνδρείας ἐστίν, ὥσπερ τό ὑφίεσθαι, δειλίας. Οὗ δέ πλεῖον ὁ κίνδυνος, ὁμόσε χωρεῖν καί ὠθίζεσθαι, ἀλλά μή κατέχεσθαι, θράσεως, ὥσπερ τό ὑποχωρεῖν ἀσφαλείας.

(≡15E_046≡> Χρυσοστ. - Οὔτε παραιτεῖσθαι δεῖ τούς ἀγῶνας, οὔτε πρός τούτους ἐπιπηδᾷν. Οὕτω γάρ καί ἡμῖν ἡ νίκη λαμπροτέρα ἔστι, καί ἡ ἥττα τῷ διαβόλῳ καταγελαστοτέρα. Ἑλκυσθέντας μέν γάρ γενναίως ἑστάναι· μή καλουμένους δέ, ἡσυχάζειν καί τόν καιρόν ἀναμένειν, τῶν ἀγαθῶν· ἵνα καί τό ἀκενόδοξον, καί τό γενναῖον ἐπιδειξώμεθα.

Σωκράτης. - Θεασάμενος τάς τῶν Κορινθίων πόρτας ἐσχυρῶς κεκλεισμένα, ἔφη· Μή γυναῖκες ἐνθάδε κατοικοῦσιν;

Μενάνδρου, - Ἰσχύς νοῦν οὐκ ἔχουσα, τάφῳ τούς ἐμπίπτοντας παραδίδωσιν.

Ἀλέξανδρ. ὁ βασιλεύς. - Οὗτος παρακαλούμενος ὑπό τῶν φίλων νυκτός ἐπιθέσθαι τοῖς πολεμίοις, εἶπεν· Οὐ βασιλικόν ἐστι κλέπτειν τήν νίκην. Θεασάμενος δέ τινα ὁμώνυμον αὐτοῦ δειλόν ὄντα, ἔφη· Νεανίσκε, ἤ τό ὄνομα ἄλλαξον, ἤ τόν τρόπον.

(=748=) Παρακαλούμενος δέ ὑπό τῶν φίλων τεκνοποιῆσαι, ἔφη· Μή ἀγωνιᾶτε· καταλείπω γάρ ὑμῖν τέκνα, τάς ἐκ τῶν ἀγώνων νίκας.

Τοῦ αὐτοῦ ἐνιόντος ἐπί τόν πόλεμος, Ἀριστοτέλης ἔφη· Περίμεινον τό τέλειον τῆς ἡλικίας, καί τότε πολέμει. Ὁ δέ, Φοβοῦμαι, εἶπε, μή περιμένων τό τέλειον τῆς ἡλικίας, τήν τῆς νεότητος τόλμαν ἀπολέσω.

Λάκων ὀνειδιζόμενος ὑπό τινος, ὅτι χωλός ὤν ἔξεισιν ἐπί τόν πόλεμον, Τί τοῦτο; ἔφη· οὐ φευγόντων ἐστί χρεία, ἀλλά μενόντων καί ἀγωνιζομένων.

Λαονίδης . - Λεονίδας ὁ Λακεδαιμόνιος, ὀλίγους ἔχων στρατιώτας, εἰς τήν πρός τούς Πέρσας μάχην ἐξεπορεύετο. Εἰπόντος δέ τινος, ὅτι μετ᾽ ὀλίγων παντελῶς ἐκπορεύεται, εἶπεν· Ἀλλά μετά βουλομένων.

Λάκων ἀσθενεως τό σῶμα διακείμενος ἐπί παράταξιν προῆγε· λεγόντων δέ τινων αὐτῷ, Ποῦ τοιοῦτος ὤν πορεύῃ; ἔφη· Ὑπέρ τῆς πατρίδους ἀποθανεῖν.

Μουσωνίου. - Ἅρπαξε τό καλῶς ἀποθνήσκειν ὅτε ἔξεστι. (≡15E_048≡> μή μετά μικρόν τό μέν ἀποθνήσκειν σοι παρῇ, τό δέ καλῶς μηκέτι ἔξῃς.

Ἐκ τῶν Δίωνος Χρειῶν. - Λάκεινα γυνή, τοῦ υἱοῦ αὐτῆς ἐν παρατάξει χωλεύοντος, καί δυσφοροῦντος ἐπί τούτῳ, Μή λυποῦ τέκνον, εἶπε· καθ᾽ ἕκαστον γάρ βῆμα τῆς ἰδίας ἀρετῆς ὑπομνησθήσῃ.

Ἐκ τῆς Νικολάου συναγωγῆς. - Κέλτοι οἱ τῷ Ὠκεανῷ γειτνιῶντες, αἰσχρόν ἡγοῦνται τοῖχον καταπίπτοντα ἤ οἰκίαν φεύγειν· πλημμυρίδος δέ ἐκ τῆς ἔξω θαλάττης ἐπερχομένης, μεθ᾽ ὅπλων ἀπαντῶντες ὑπομένουσιν, ἕως κατακλύζωνται, ἵνα μή δοκῶσι φεύγοντες τόν θάνατον φοβεῖσθαι.

Κορίσκου. - Κορίσκος εὖ μάλα γέρων ὤν, ὡς ἀπό τινος χαλεπῆς ἀῤῥωστίας ἀνέῤῥωσεν, Ἄπαγε, ἔφη, ὡς ἀηδῶς ἀνέστροφα, ἤδη τῆς ὁδοῦ προκεκοφώς, ἥν δεῖ πάντως πορευθῆναι.

Πύῤῥου. - Πύῤῥου ἐπιστρατεύσαντος τοῖς Λακεδομονίοις, καί πολλά ἀπειλοῦντος, Κερκυλλίδας εἷς τῶν γερόντων ἀναστάς ἐν τῇ Ἐκκλησίᾳ, εἶπεν· Εἰ μέν Θεός ἐστιν ὁ ἀπειλῶν, μή φοβώμεθα· οὐδέν γάρ ἀδικοῦμεν· εἰ δ᾽ ἄνθρωπος, γνώτω ἀνδράσιν ἀπειλῶν.

Ἐκ τοῦ Πλουτάρχου Ἱστοριῶν. - Δαρεῖος ὁ τῶν Περσῶν βασιλεύς, μετά τριάκοντα μυριάδων ἐν (749) Μαραθῶνι ἐστρατοπευδεύσατο.

Ἀθηναῖοι δέ χιλίους ἔπεμψαν ἐπ᾽ αὐτούς, στρατηγούς αὐτοῖς δόντες, Πολύζηλον, Καλλίμαχον, Κυναίγειρον καί Μιλτιάδην. Συμβληθείσης δέ τῆς παρατάξεως, Πολύζηλος μέν ὑπέρ ἄνθρωπον φαντασίαν θεασάμενος, τήν ὅρασιν ἀπέβαλεν, καί τυφλός ὤν, ἀνεῖλε τεσσαράκοντα καί ὀκτώ. Καλλίμαχος δέ πολλοῖς πεπαρμένος δόρασι, καί νεκρός ἐστάθη· Κυναίγειρος δέ Περσικάς ἀγομένην ναῦν, κατέχων, ἐχειροκοπήθη· ὅθεν καί εἰς αὐτούς ὑπό Παντελείου τοιάδε γεγράφθαι λέγεται·

Ὦ κενεοῦ καμάτου καί ἀπρήκτου πολέμοιο!
Ἡμετέρῳ βασιλεῖ τί λέξομεν ἀντιάσαντες;
(≡15Ε_050≡> Ὦ βασιλεῦ, τί μ᾽ ἔπεμπες ἐπ᾽ ἀθανάτους πολεμιστάς;
Βαλοῦμεν, οὐ πίπτουσι· τιτρώσκομεν, οὐ φοβέονται.
Μοῦνος ἀνήρ σύλησεν ὅλον στρατόν· ἐν δ᾽ ἄρα μέσῳ
Ἀσματόεις [Ἀσθματ.] ἕστηκε σιδηρείαις ὑπό ῥίζαις,
Οὐδέ θέλει πεσέειν· τάχα δ᾽ ἔρχεται ἔνδοθι νηῶν.
Λέγε, κυβερνῆτα, νέκυος προφύγωμεν ἀπειλάς.

ΛΟΓΟΣ Ε΄.

## Περί δικαιοσύνης.

(≡15Ε_052≡> Ματθ. ε΄. - Μακάριοι οἱ πεινῶντες καί διψῶντες τήν δικαιοσύνην, ὅτι αὐτοί χορτασθήσονται.

Λευϊτ. ιθ ΄. - Ζυγά δίκαια καί μέτρα δίκαια καί χοῦς δίκαιος ἔστι ὑμῖν.

Ἡσαΐ. κστ ΄. - Δικαιοσύνην μάθετε, οἱ ἐνοικοῦντες ἐπί τῆς γῆς.

Παροιμ. ιδ ΄. - Δικαιοσύνην ὑψοῖ ἔθνος, ἐλασσονοῦσι δέ φυλάς αἱ ἁμαρτίαι.

Παροιμ. ιβ .΄- Κτῆμα τίμιον ἀνήρ καθαρός πορευόμενος ἐν ὁδοῖς δικαιοσύνης.

Ὁδός δικαιοσύνης καί ἐλεημοσύνης εὑρήσει ζωήν καί δόξαν.

Παροιμ. κζ'. - Ὀρύσσων βόθρον τῷ πλησίον, ἐμπεσεῖται εἰς αὐτόν· ὁ κυλίων λίθον, ἐφ᾽ ἑαυτόν κυλίει.

Κρεῖσσον ὀλίγη λῆψις μετά δικιοσύνης, ἤ πολλά γεννήματα μετά ἀδικίας.

Σιράχ μ'. - Χρήματα ἀδίκων ὡς ποταμός ξηρανθήσεται, καί ὡς βροντή μεγάλη ἐν ὑετῷ ἐξηχήσει.

(=752=) Βασιλείου. - Ὁ τήν ἀληθῆ δικαισύνην μή ἔχων προεναποκειμένην τῇ ψυχῇ, ἀλλ᾽ ἤ χρήμασι διεφθαρμένος, ἤ φιλίᾳ χαριζόμενος, ἤ ἔχθρᾳ ἀμυνόμενος, ἤ δυναστείᾳ δυσωπούμενος, τό κρῖμα κατευθύνειν οὐ δύναται.

Δικαιοσύνη ἐστίν ἕξις ἀπονεμητική τοῦ κατ᾽ ἀξίαν. Δυσθήρατον δέ τοῦτο, τῶν μέν διά τό περί τήν φρόνησιν ἐλλιπές οὐχ εὑρισκόντων ἑκάστῳ

διανεῖμαι τό ἴσον· τῶν δέ διά τό προκατέχεσθαι ὑπό παθῶν ἀνθρωπίνων ἀφανιζόντων τό δίκαιον.

(≡15Ε_054≡> Θεολόγου. - Θεοῦ μέν ὀργῆς τρυγίαν τινά καί πιστεύομεν, καί ἀκούομεν· τό λεῖμμα τῆς κατά τῶν ἀξίων κινήσεως, ἐπειδή Θεός ἐκδικήσεων Κύριος. Εἰ γάρ καί κλίνει διά φιλανθρωπίαν ἐκ τοῦ ἀποτόμου πρός τό ἐνδόσιμον, ἀλλ᾽ οὐ πᾶν συγχωρεῖ τοῖς ἁμαρτάνουσιν, ἵνα μή τῇ χρηστότητι χείρους γίνωνται.

Χρυσοστ. - Οὔτε πάντας ἐνταῦθα ἀπαιτεῖ δίκην ὁ Θεός, ἵνα μή ἀπογνῷς τήν ἀνάστασιν, καί ἀπελπίσῃς τήν κρίσιν, πάντων ἐνταῦθα διδόντων λόγον· οὔτε πάντα ἀφίεται ἀτιμωρητί ἀπελθεῖν, ἵνα μή πάλιν ἀπρονότητα εἶναι πάντα νομίσῃς.

Τοῦ Νύσσης. - Ἡ τοῦ Θεοῦ δικαιοκρισία, ταῖς ἡμετέραις διαθέσεσιν ἐξομοιοῦται· καί οἷά περ ἄν τά παρ᾽ ἡμῶν ᾖ, τοιαῦτα ἡμῖν ἐκ τῶν ὁμοίων ἀντιπαρέχεται.

Εὐαγρίου. - Ἄδικος δικαστής, μεμολυσμένη συνείδησις.

Κυρίλλου. - Πᾶς ὁ ἀδικούμενος, καταφλέγεται μέν ὑπό λύπης· ἀμύνασθαι δέ οὐκ ἔχων ἤ διά τῶν ἴσων ἐλθεῖν, ἔσθ᾽ ὅτε διά τό ἡττᾶσθαι τῆς τοῦ ἀδικοῦντος χειρός, τῆς ἄνωθεν μισοπονηρίας τό κέντρον καλεῖ πρός ἐπικουρίαν.

Πλάτωνος. - Τίμιος μέν δή καί ὁ μηδένα ἀδικῶν· ὁ δέ μηδ᾽ ἐπιτρέπων τοῖς ἀδικοῦσιν ἀδικεῖν, πλέον ἤ διπλασίας τιμῆς ἄξιος ἐκείνου. Ὁ μέν γάρ ἑνός, ὁ δέ πολλῶν ἀντάξιος ἑτέρων.

Ἐγώ γάρ δή οἶμαι, καί ἐμέ, καί σέ, καί τούς ἄλλους ἀνθρώπους, τό ἀδικεῖν τοῦ ἀδικεῖσθαι κάκιον ἡγεῖσθαι· καί τό μή διδόναι δίκην, τοῦ διδόναι.

(=753=) Ἄξιον τούτους ἐπαινεῖν τῶν ἀνθρώπων, οἵ μηδεμίαν ὠφέλειαν προαιροῦνται τοῦ δικαίου· χρήματα γάρ ἔστι κτήσασθαι, δόξαν δέ, χρημάτων οὐ ῥᾴδιον πρίασθαι.

Μοσχίωνος. - Ἄμεινον δικαίως κρίναντα, πρός τοῦ καταδικασθέντος ἀδίκως μεμφθῆναι, ἤ ἀδίκως κρίναντα, παρά τῇ φύσει δικαίως ψέγεσθαι.

Ἐκ τῶν ἑπτά φιλοσόφων. - Δοκεῖ δέ μοι πόλις ἄριστα πράττειν (≡15Ε_056≡> καί μάλιστα σώζειν δημοκρατίαν, ἐν ᾗ τόν ἀδικήσαντα τοῦ ἀδικηθέντος προβάλλονται καί κολάζουσιν.

Ὑπερίδου. - Διά δύο προφάσεις τῶν ἀδικημάτων ἄνθρωποι ἀπέχονται, ἤ διά φόβον, ἤ διά αἰσχύνην.

Σωκράτ. - Ἅ πάσχοντες παρ᾽ ἑτέροις ὀργίζεσθε, ταῦτα τοῖς ἄλλοις μή ποιεῖτε.

Ἐπικτήτου. - Ὥσπερ εὐθύς ζυγός, οὔτε πρός ἀληθοῦς εὐθύνεται ζυγοῦ, οὔθ᾽ ὑπό ψευδοῦς κρίνεται· οὕτω καί ὁ δίκαιος κριτής, οὔθ᾽ ὑπό δικαίων εὐθύνεται, οὔτε παρ᾽ ἀδίκοις δικάζεται.

Μή πρότερον ἑτέρῳ δικαστηρίῳ δικάσῃς, πρίν αὐτός παρά τῇ δίκῃ κριθῇς.

Πυθαγόρου. - Κακά μείζω πάσχει διά τοῦ συνειδότος ὁ ἀδικῶν, βασανιζόμενος, ἤ ὁ τῷ σώματι καί ταῖς πληγαῖς μαστιγούμενος.

Ζήνωνος. - Ζήνων ὁ Στοϊκός φιλόσοφος, ἐρωτηθείς ὑπό τινος τῶν γνωρίμων, πῶς ἄν μηδέν τῶν ἀδίκων πράττο[ι]μεν, εἶπεν· Ἐάν διά παντός ὑπολαμβάνητέ με συμπαρεῖναι ὑμῖν.

Ὁ αὐτός ἐρωτηθείς, εἰ δύναται λανθάνειν Θεόν ἄνθρωπος ἀδικῶν, Ἀλλ᾽ οὐδέ διανοούμενος , ἔφη.

Σωκράτης. - Καταδικασθείς ὑπό Ἀθηναίων κατακρημνισθῆναι, τῆς γυναικός Ξανθίππης κλαιούσης, καί λεγούσης· Ὦ Σώκρατες, ὡς ἀδίκως ἀποθνήσκεις! ἔφη· Σύ οὖν ἐβούλου με δικαίως ἀποθανεῖν;

Μενάνδρου. -

Χρηστοῦ πρός ἀνδρός μηδέν ὑπονόει κακόν.

Δίκαιος ἀδικεῖν οὐκ ἐπίσταται τρόπος.

Ξενοφῶντι Σωκράτης. - Ἦ οὐ δοκεῖ σοι ἀξιοτεκμαρτότερον τοῦ λόγου τό ἔργον εἶναι; Πολύ γε, νή Δία, ἔφη. Δίκαια μέν λέγοντες πολλοί, ἄδικα ποιοῦσι· δίκαια δέ πραττόντων, οὐδ᾽ ἄν εἷς ἄδικος εἴη.

**ΛΟΓΟΣ Στ΄.**

## Περί φίλων καί φιλαδελφίας.

(≡15Ε_058≡> Α΄ Κορ. ιγ΄. - Ἐάν ταῖς γλῶσσαις τῶν ἀνθρώπων λαλῶ καί τῶν ἀγγέλων, ἀγάπην δέ μή ἔχω, γέγονα (=756=) χαλκός ἠχῶν, ἤ κύμβαλον ἀλαλάζον. Καί μετ᾽ ὀλίγον· Ἐάν ψωμίσω πάντα τά ὑπάρχοντά μοι, καί παραδῷ τό σῶμα μου ἵνα καυθήσομαι, ἀγάπην δέ μή ἔχω, οὐδέν εἰμι.

Παροιμ. κζ΄. - Ἀξιοπιστότερα τραύματα φίλου, ἤ ἑκούσια, φιλήματα τοῦ ἐχθροῦ.

Παροιμ. κθ΄. - Ὅς παρασκευάζεται ἐπί πρόσωπον τοῦ ἑαυτοῦ φίλου δίκτυον, περιβαλεῖ αὐτό τοῖς ἑαυτοῦ ποσίν.

Παροιμ. ιη'.- Προφασίζεται ἀνήρ βουλόμενος χωρισθῆναι ἀπό φίλων.

Παροιμ. ιε΄. - Κρεῖσσον ξενισμός λαχάνων πρός φιλίαν καί χάριν, ἤ παράθεσις μόσχων μετά ἔχθρας.

Σιράχ κβ΄. - Βάλλων λίθον τις ἐπί πετεινά, ἐπισοβεῖ αὐτά· καί ὀνειδίζων φίλον, διαλύσει φιλίαν.

Σιράχ στ΄. - Φίλος πιστός σκέπη κραταιά· ὁ δέ εὑρών αὐτόν, εὗρε θησαυρόν.

Σιράχ θ΄. - Μή ἐγκαταλίπῃς φίλον ἀρχαῖον· ὁ γάρ πρόσφατος οὐκ ἔστιν ἐπίσης αὐτῷ.

Σιράχ στ ΄. - Φίλου πιστοῦ οὐκ ἔστιν ἀντάλλαγμα, καί οὐκ ἔστιν σταθμός τῆς καλλονῆς αὐτοῦ.

Βασιλείου. - Οὐδείς πονηρῶν καί ἀμαθῶν φίλος. Οὐδέ γάρ πίπτει τό φιλίας καλόν, εἰς μοχθηράν διάθεσιν· διότι οὐδέν αἰσχρόν καί

ἀνάρμοστον εἰς συμφωνίαν δύναται χωρῆσαι φιλίας. (≡15Ε_060≡> Τό γάρ κακόν, οὐ τῷ ἀγαθῷ ἐναντίον ἐστί μόνον, ἀλλά καί αὐτό ἑαυτῷ.

Τά παρά φίλων, κἄν ὕβρις ᾖ, φορητά.

Θεολόγου. - Ἀεί προτίμα τούς καλούς τῶν μή καλῶν.

Κακοῖς δ᾽ ὁμιλῶν, καί κἀκός πάντως ἔσῃ.

Πάντα οἴσει φιλία, καί πάσχουσα καί ἀκούουσα.

Κρείσσων ἐμπαθοῦς ὁμονοίας ἡ ὑπέρ εὐσεβείας διάστασις.

Βλαβεραί αἱ πρός τούς κακούς συνουσίαι· ἐπειδή νόμος οὗτος φιλίας δι᾽ ὁμοιότητος πέφυκεν τοῖς συναπτομένοις ἐγγίνεσθαι οἱ μῖσος ἐν τῷ βάθει κατέχοντες, ἀγάπῃ δεικνύουσι κατακεχρωσμένην τήν ἐπιφάνειαν, κατά τάς ὑφάλους πέτρας, αἵ βραχεῖ ὕδατι καλυπτόμεναι, κακόν ἀπροαίρετον τοῖς ἀφυλάκτοις γίνονται.

Κακοῦ παρ᾽ ἀνδρός μή ποτε χρηστόν πάθῃς.

Ζήτει γάρ ὧν βεβίωκε συγγνώμην ἔχειν.

Τά μέν γάρ σώματα τόπῳ συνάπτεται,

Ψυχαί δέ πνεύματι συναρμόζονται.

Ἔχθρας ὅρους γίνωσκε, φιλίας δέ μή.

Μηδείς οἰέσθω με λέγειν, ὅτι πᾶσαν εἰρήνην ἀγαπητέον (οἶδα γάρ, ὥδπερ στάσιν τινά βελτίστην, οὕτω καί βλαβερωτάτην ὁμόνοιαν), ἀλλά τήν τε καλήν καί ἐπί καλῷ, καί Θεῷ συνάπτουσαν.

(=757=) Χρυσοστ. - Ὥσπερ ψυχή ἄνευ σώματος οὐ καλεῖται ἄνθρωπος, οὐδέ ἦν σῶμα ἄνευ ψυχῆς· οὕτως οὐδέ ἀγάπη πρός Θεόν, ἐάν μή ἔχῃ ἀκόλουθον καί τήν πρός τόν πλησίον ἀγάπην.

Οὐδέν ὁμονοίας ἴσον. Ὁ γάρ εἷς, πολλοστός ἐστιν οὕτως. Ἄν γάρ ὁμόψυχοι ὦσι δύο ἤ δέκα, οὐκέτι εἷς ἐστιν ὁ εἷς, ἀλλά δεκαπλασίων ἕκαστος αὐτῶν γίνεται· καί εὑρήσεις ἐν τοῖς δέκα (≡15Ε_062≡> τόν ἕνα, καί ἐν τῷ ἑνί τούς δέκα. Κἄν ἐχθρούς ἔχωσιν ἐν τῷ ἑνί προσβαλών, ἐν τοῖς δέκα προσβαλών, οὕτως ἁλίσκεται. Ἠπόρησεν ὁ εἷς, ἀλλ᾽ οὐκ ἔστιν ἐν ἀπορίᾳ· τῷ γάρ μείζονι μέρει τό ἀποροῦν συσκιάζεται. Ἕκαστος τούτων εἴκοσι χεῖρας ἔχει καί εἴκοσιν ὀφθαλμούς, καί πόδας τοσούτους, καί ψυχάς δέκα. Οὐ γάρ τοῖς ἑαυτοῦ μόνον, ἀλλά καί τοῖς ἐκείνων ἐργάζεται πάντα. Εἰ δέ καί ἑκατόν γένοιτο, τό αὐτό ἔστι πάλιν. Ὁ αὐτός καί ἐν Περσίδι καί ἐν Ῥώμῃ δύναται εἶναι· καί ὅπερ φύσις οὐ δύναται, ἡ ἀγάπη δύναται. Ἐάν οὖν χιλίους ἔχῃς φίλους ἤ δισχιλίους, ἐννόησον ποῦ πάλιν ὑπερβήσεται τά τῆς δυνάμεως. Τό γάρ θαυμαστόν τοῦτό ἐστι, τό χιλιοστόν ποιῆσαι ἕνα, Βέλτιον γάρ ἡμῖν σβεσθῆναι τόν ἥλιον, ἤ φίλων ἀποστερηθῆναι. Πολλοί γάρ τόν ἥλιον, ὁρῶντες, ἐν σκότῳ εἰσί· φίλων δέ εὐποροῦντες, οὐδ᾽ ἄν ἐν θλίψει γένοιντο. Οὐδέν γάρ, οὐδέν τῆς ἀγάπης γλυκύτερον γένοιτο ἄν. Τί γάρ οὐκ ἄν ἐργάσαιτο φίλος γνήσιος; πόσην μέν οὐκ ἄν ἐμποιήσειεν ἡδονήν; πόσην δέ ὠφέλειαν; πόσην ἀσφάλειαν; κἄν μυρίους θησαυρούς εἴπῃς, οὐδέν ἀντάξιον γνησίου φίλου εὕροις. Καί καθάπερ τά λαμπρά τῶν σωμάτων ἄνθος ἀποῤῥεῖ πρός τούς πλησίον τόπους· οὕτω καί φίλοι, οἷς

ἐάν παραγένωται τόποις, ἑαυτῶν χάριν ἀφιᾶσι. Κρεῖσσον γάρ ἐν σκότῳ διάγειν, ἤ φίλων εἶναι χωρίς.

Γρηγ. Νύσσης. - Ὥσπερ τά εὐώδη τῶν ἀρωμάτων, τῆς ἰδίας εὐπνοίας τόν παρακείμενον ἀέρα πλήρη ποιοῦσιν, οὕτως ἀνδρός ἀγαθοῦ παρουσία τούς πέλας ὀνίσησιν.

Εὐαγρίου. - Ἀγάπη, τά φλεγμαίνοντα μόρια τοῦ θυμοῦ θεραπεύει.

Φίλωνος. - Φίλον ἡγητέον, τόν βοηθεῖν καί ἀντωφελεῖν ἐθέλοντα, κἄν μή δύνηται.

Ἐκ χρυσοῦ ποτηρίου πίνειν φάρμακον, καί παλαιοτέρα ἀγνώμονος συμβουλίαν λαμβάνειν, ταυτόν ἐστιν.

Σκεύη μέν τά καινά, κρείττονα, φιλία δέ ἡ παλαιοτέρα.

(≡15E_064≡> Οἱ μέν ἐκ τῆς γῆς καρποί κατ' ἐνιαυτόν, οἱ δέ ἐκ τῆς φιλίας, κατά πάντα καιρόν φύονται.

Οἱ μέν ἐκ τῆς γῆς καρποί κατ᾽ ἐνιαυτόν· οἱ δέ ἐκ τῆς φιλίας, κατά πάντα καιρόν φύονται.

Πολλοί φίλους αἱροῦνται, οὐ τούς ἀρίστους, ἀλλά τούς πλουτοῦντας.

(=760=) Πολλοί δοκοῦντες εἶναι φίλοι, οὐκ εἰσί· καί οὐ δοκοῦντες, εἰσί· σοφοῦ οὖν ἐστι γινώσκειν ἕκαστον.

Φεύγειν δεῖ τήν φιλίαν, ὧν τινων ἀμφίβολος ἡ διάθεσις.

Ἰσοκράτ. - Φίλους κτῶ, μή πάντας τούς βουλομένους, ἀλλά τούς τῆς σῆς φύσεως ἀξίους ὄντας.

Τοῦ αὐτοῦ. - Μηδένα φίλον ποιοῦ, πρίν ἄν ἐξετάσῃς πῶς κέχρηται τοῖς πρότερον φίλοις. Ἔλπιζε γάρ αὐτόν καί περί σέ γενέσθαι τοιοῦτον, οἷος καί περί ἐκείνους γέγονεν.

Βραδέως μέν φίλος γίνου· γενόμενος δέ, πειρῶ διαμένειν. Ὁμοίως γάρ αἰσχρόν μηδένα φίλον ἔχειν, καί πολλούς ἑταίρους μεταλλάττειν.

Ἡ ἀληθινή φιλία τρία ζητοῖ μάλιστα· τήν ἀρετήν, ὡς καλόν· καί τήν συνήθειαν, ὡς ἡδύ· καί τήν χρείαν, ὡς ἀναγκαῖον. Δεῖ γάρ ἀποδέξασθαι κρίναντα, καί χαίρειν συνόντα, καί χρῆσθαι δεόμενον.

Πλουτάρχ. - Ἵππου μέν ἀρετήν ἐν πολέμῳ, φίλου δέ πίστιν ἐν ἀτυχίᾳ κρίνομεν.

Οὐ χρή τόν ἀδελφόν καθάπερ πλάστιγγα ῥέπειν εἰς τοὐναντίον, ὑψουμένου ταπεινούμενον αὐτόν.

Ἡδέως μέν ἔχε πρός ἅπαντας, χρῶ δέ τοῖς βελτίστοις. Οὕτω γάρ, τοῖς μέν οὐκ ἀπεχθής ἔσῃ, τοῖς δέ φίλος γενήσῃ.

Φίλους κτῶ, μή μεθ᾽ ὧν ἥδιστα συνδιατρίψῃς, ἀλλά μεθ᾽ ὧν ἄριστα.

Ἐκ τῶν Δίωνος Χρειῶν. - Ὁπόσους γάρ ἄν τις ᾖ κεκτημένος ἑταίρους, τοσούτοις μέν ὀφθαλμοῖς ἅ βούλεται ὁρᾷ, τοσαύταις δέ ἀκοαῖς ἅ δεῖ ἀκούει, τοσαύταις δέ διανοίαις διανοεῖται (≡15E_066≡> περί τῶν συμφερόντων. Διαφέρει γάρ οὐδέν, ἤ εἴ τῳ Θεός ἕν σῶμα ἔχοντι, πολλάς ψυχάς ἔδωκεν, ἁπάσας ὑπέρ ἐκείνου προνοουμένας.

Ἀριστοτέλ. - Χρήματα ποιεῖσθαι μᾶλλον τῶν φίλων ἕνεκα προσήκει, ἤ τούς φίλους τῶν χρημάτων.

Οὗτος ὀνειδιζόμενος ὅτι πομηροῖς συνδιατρίβει, Ἐκεῖνος, ἔφη, ἄριστος ἰατρός ἐστι, ὅς τούς ὑπό πάντων ἀπεγνωσμένους ἀναλαμβάνει.

Ὁ αὐτός ἔλεγεν, ὅτι τό πᾶσιν ἀρέσαι δυσχερέστατόν ἐστιν.

Σωκράτης. - Οἱ φιλίαν παραθεωροῦντες, κἄν τήν ἐκ τῶν ἠδικημένων ἐκφύγωσι τιμωρίαν· ἀλλ᾽ οὖν γε τήν ἐκ Θεοῦ τιμωρίαν οὐ διακρούονται.

Φιλεῖν ἀκαίρως, ἴσον ἐστί τοῦ μισεῖν. Φίλον γνήσιον ἐν κακοῖς μή φοβοῦ

Ὁ αὐτός ἐπερωτῶν Κροῖσον, τί παρά τῆς βασιλείας ἔσχε τιμιώτατον· εἶτα ἐκείνου εἰρηκότος, Τό τούς ἐχθρούς μετελθεῖν, καί φίλους εὐεργετεῖν· Πόσῳ μᾶλλον, ἔφη, χαριέστερον ἐποίησας, εἴ καί τούτους εἰς φιλίαν μετετρόπωσας.

Δημοκρίτ. - Τό μή δύνασθαι βοηθεῖν τοῖς φίλοις, ἀπορίας, τό δέ μή βούλεσθαι, κακίας τεκμήριον.

(=761=) Κλειτάρχου. - Σεαυτοῦ τά ἀτυχήματα τῶν φίλων ἡγοῦ· τῶν δέ ἰδίων εὐτυχημάτων κοινώνει.

Τελευτησάντων τῶν φίλων, θρηνεῖν μέν οὐκ εὐγενές· προνοεῖν δέ τῶν οἰκείων, ἐπιμελές.

Κάτων. - Οὐ τά χρήματα φίλοι, ἀλλ᾽ οἱ φίλοι χρήματα. Καί χρήματα μέν, φιλίαν οὐδέποτε ἄν ἐργάσαιτο, ὥσπερ οὐδέ ἡ γῆ Θεόν· φιλία δέ χρήματα ῥᾳδίως κτήσαιτο [κτίσ.], καθάπερ καί Θεός γῆν.

Ὥσπερ μέλιτταν οὐ διά τό κέντρον μισεῖς, ἀλλά διά τόν καρπόν τημελεῖς· οὕτω καί φίλον, μή δι᾽ ἐπίπληξιν ἀποστραφῇς, ἀλλά διά τήν εὔνοιαν ἀγάπα.

(≡15E_068≡> Ὅστις φίλον λυπούμενον ἔφυγεν, οὐδέ τοῦ χαίροντος ἀπολαύειν ἄξιος.

Μενάνδρου.

Καί φιλεῖν δεῖ ὡς καί μισήσοντας.

Καί μισέειν ὡς καί φιλήσοντας.

Χρυσός μέν οἶδε δοκιμάζεσθαι πυρί,

Ἡ πρός φίλους δ᾽ εὔνοια καιρῷ κρίνεται.

Ὁ καιρῷ εὐτυχοῦντα κολακεύων φίλον,

Καιροῦ φίλος πέφυκεν, οὐχί τοῦ φίλου.

Οὐ πρότερον ἀληθινούς φίλου κτῆσαι, πρίν τούς φαύλους ἀποδιώξῃς.

Οὐδέποτε ὠρέχθην τοῖς πολλοῖς ἀρέσκειν. Ἅ μέν γάρ ἐκείνοις ἤρεσκεν, οὐκ ἔμαθον· ἅ δ᾽ ᾔδειν ἐγώ μακράν ἦν τῆς ἐκείνων διαθέσεως.

Σωκράτης. - Οἱ ἀδελφούς παριόντες, καί ἄλλους φίλους ζητοῦντες, παραπλήσιοί εἰσι τοῖς τήν ἑαυτῶν γῆς ἐῶσι, τήν δέ ἀλλοτρίαν γεωργοῦσι.

Κριτίου. - Ὅστις τοῖς φίλοις πάντα πρός χάριν πράσσων ὁμιλεῖ, τήν παραυτίκα ἡδονήν ἔχθραν καθίστησιν εἰς ὕστερον χρόνον.

Πολυαίνου. - Ὅσῳ ἄν πλεῖον εὐεργετήσεις τόν φίλον, τοσοῦτῳ μᾶλλον τό σαυτοῦ συμφέρον ποιήσεις. Ἀντεπιστρέφει γάρ πάλιν εἰς ἡμᾶς ἡ ἐξ ἐκείνων εὔνοια.

Κυψέλου. - Φίλοις εὐτυχοῦσι καί ἀτυχοῦσιν, ὁ αὐτός ἴσθι.

Ἐπικτήτου. - Φεύγειν δεῖ κακῶν φιλίαν καί ἀγαθῶν ἔχθραν.

Σέξτ. - Μή κτήσῃ φίλον, ᾧ μή πάντα πιστεύεις.

Κύρου. - Πέμψαντος αὐτῷ τινος κόσμον πολύν, δέδωκε τοῖς φίλοις. Ἐρωτηθείς δέ, διατί οὐχ ὑπελείπετο αὐτῷ, ἔφη· Ὅτι τό μέν ἐμόν σῶμα οὐκ ἄν δύναιτο πᾶσι τούτοις κοσμεῖσθαι· φίλους δέ κεκοσμημένους ὁρῶν, μέγιστον ἑμαυτῷ κόσμον ἀποκεῖσθαι δόξω.

(≡15Ε_070≡> Τίμων. - Τίμων ὁ μισάνθρωπος, ἐρωτηθείς διατί πάντας ἀνθρώπους μισεῖ, εἶπε· Διότι τούς μέν πονηρούς εὐλόγως μισῶ· τούς δέ λοιπούς, ὅτι οὐ μισοῦσι τούς πονηρούς.

Ῥωμύλ.-- Ῥωμύλος ἐγκαλούμενος ὅτι πονηροῖς ἀνθρώποις σύνεστιν, ἔφη· Καί οἱ ἰατροί τοῖς νοσοῦσιν· ἀλλ᾽ αὐτοί ὑγιαίνουσιν.

Ἀντίγονος Βασιλεύς. - Οὗτος θύων τοῖς θεοῖς, ηὔχετο φυλάττειν αὐτόν ἀπό τῶν δοκούντων εἶναι (764) φίλων. Πυνθανομένου δέ τινος, διά ποίαν αἰτίαν τοιαύτην εὐχήν ποιεῖται, ἔφη. Ὅτι τούς ἐχθρούς γινώσκων φυλάσσομαι.

Ἀλέξανδρ. - Ἐρωτηθείς ὑπό τινος, Ποῦ τούς θησαυρούς ἔχεις; δείξας τούς φίλου, ἔφη, Ἐν τούτοις.

Λιβανίου. - Συγχαίρειν χρή τοῖς φίλοις καλῶς πράττουσιν, ὡς καί συναλγεῖν λυπουμένοις.

Αἱ ἐκ φίλων εἰς φίλου γενόμεναι λύπαι, δυσθεράπευτοι λίαν τυγχάνουσι, καί μείζους τῶν ἐχθρῶν ἔχουσι τάς ἐπηρείας.

Πεισωνιανοῦ. Δίωνος. - Ὅσῳ δ᾽ ἄν τις τούς φίλους ἰσχυροτέρους ποιεῖ, οὗτος ἰσχυρότερος αὐτῶν γίνεται.

Ποία μέν συμφορά δίχα φιλίας οὐκ ἀφόρητος; ποία δέ εὐτυχία χωρίς φίλων οὐκ ἄχαρις;

Ῥᾷον ἄν τις συμφοράν χαλεπωτάτην φέρει μετά φίλων, ἤ μόνος εὐτυχίαν μεγίστην.

Ἐκεῖνον ἀθλιώτατον κρίνω δικαίως, ὅς ἐν μέν ταῖς συμφοραῖς πλείστους ἔχει τούς ἐφηδομένους, ἐν δέ ταῖς εὐτυχίαις οὐδένα τόν συνηδόμενον.

Ὁ τοῖς φίλοις χαριζόμενος, ἅμα μέν ὡς χαριζόμενος ἥδεται διδούς, ἅμα δέ ὡς αὐτός κτώμενος.

ΛΟΓΟΣ Ζ΄.

## Περί ἐλεημοσύνης.

(≡15Ε_072≡> Ματθ. ε΄. - Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοί ἐλεηθήσονται.

Δευτ. ιε΄. - Οὐ μή ἐκλίπῃ ἐνδεής ἀπό τῆς γῆς. Διά τοῦτο ἐγώ σοι ἐντέλλομαι τό ῥῆμα τούτο λέγων, Ἀνοίγων ἀνοίξεις τάς χεῖράς σου τῷ ἀδελφῷ σου τῷ πένητι.

Ἰώβ κθ΄. - Ὀφθαλμός ἤμην τυφλῶν, πούς δέ χωλῶν· ἐγώ ἤμην πατήρ ἀδυνάτων.

Παροιμ. γ΄. - Ἐλεημοσύναι καί πίστις μή ἐκλειπέτωσάν σε· ἔφαψαι δέ αὐτάς ἐπί σῷ τραχήλῳ, καί εὑρήσεις χάριν.

Δαν. δ΄. - Τάς ἁμαρτίας ἐν ἐλεημοσύναις λύτρωσαι, καί τάς ἀνομίας σου ἐν οἰκτιρμοῖς πενήτων.

Σιράχ γ΄. - Πῦρ φλογιζόμενον κατασβέσει ὕδωρ, καί ἐλεημοσύνη ἐξιλάσκεται ἁμαρτίας.

Σιράχ δ΄. - Κλῖνον πτωχῷ ἀλύπως τό οὖς σου, καί ἀποκρίθητι αὐτῷ ἐν πραΰτητι εἰρηνικά.

Σιράχ ιβ΄. - Δός τῷ εὐσεβεῖ, καί μή ἀντιλαβοῦ τοῦ ἁμαρτωλοῦ· εὖ ποίησον ταπεινῷ, καί μή δῷς ἀσεβεῖ.

Σιράχ κθ΄. - Σύγκλεισον ἐλεημοσύνην ἐν τοῖς ταμείοις σου, καί αὕτη σε ἐξελεῖται ἐκ πάσης κολάσεως [κακώσεως], καί ὑπέρ δόρυ ἀλκῆς κατέναντι ἐχθροῦ πολεμήσει ὑπέρ σοῦ.

Σιράχ λε΄. - Ὡραῖον ἔλεος ἐν καιρῷ θλίψεως, ὡς νεφέλη ὑετοῦ ἐν καιρῷ ἀβροχίας.

(=765=) Βασιλείου.- Πλεονεξίας εἶδος τό χαλεπώτατον, μήτε τῶν φθειρομένων μεταδιδόναι τοῖς ἐνδεέσιν.

(≡15Ε_074≡> Τοσούτους ἀδικεῖς, ὅσοις παρέχειν ἠδύνασο.

Θεολόγου. - Τό εὖ ποιεῖν, τοῦ πάσχειν τιμιώτερον, καί περισπουδαστότερον κέρδους ἔλεος.

Κρεῖττον μυρίων παίδων πατέρα προσαγορεύεσθαι, ἤ μυρίους στατῆρας ἔχειν ἐν βαλαντίῳ. Τά μέν γάρ χρήματα καταλείψεις ἐνταῦθα, καί μή βουλόμενος· τήν δέ ἐπί τοῖς ἀγαθοῖς ἔργοις φιλοτιμίαν ἀποκομίσεις πρός τόν Δεσπότην· ὅταν δῆμος ὅλος ἐπί τοῦ κοινοῦ Κριτοῦ παριστάντες σε, τροφέα καί εὐεργέτην, καί πάντα τά τῆς φιλανθρωπίας ἀποκαλῶσιν ὀνόματα· Θεός ἔσται ὁ ἀποδεχόμενος· ἄγγελοι εὐφημοῦντες· οἱ ἀπό κτίσεως ἄνθρωποι μακαρίζοντες· δόξα αἰώνιος, στέφανοι δικαιοσύνης, βασιλεία τῶν οὐρανῶν ἆθλός σοι ἔσται.

Σκορπιζόμενος ὁ πλοῦτος, καθ᾿ ὅν ὁ Κύριος ἐπιτάττεται τρόπον, πέφηκε παραμένειν· συνεχόμενος δέ, ἀλλοτριοῦσθαι. Ἐάν φυλάσσεις, οὐκ ἔχει· ἐάν δέ σκορπίσεις, οὐκ ἀπολέσεις. Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησι.

Καλόν ἐντάφιον ἡ εὐσέβεια. Πάντας περιβαλόμενος ἄπελθε. Οἰκεῖον κόσμον τόν πλοῦτόν σου ποίησον· ἔχε αὐτόν μετά σεαυτοῦ. Πείσθητι καλῶς συμβούλῳ τῷ ἀγαπήσαντί σε Χριστῷ, τῷ δι᾿ ἡμᾶς πτωχεύσαντι, ἵν᾿ ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν.

Θεολόγου. - Ἐλεημοσύνη, ἡ πάσης ἀπηλλαγμένη ἀδικίας· αὕτη πάντα καθαρά ποιεῖ. Τοῦτο καί νηστείας βέλτιον καί χαμευνίας· καίτοιγε

ἐκεῖνα μοχθηρότερα καί ἐπιπονώτερα, ἀλλ᾽ αὕτη κερδαλεωτέρα, χρωτίζει ψυχήν, λεπτύνει, καλήν καί ὡραίαν ποιεῖ.

(≡15E_076≡> Ἐκεῖνα μόνα κερδήσομεν, ὅσα ἄν ἐκεῖ προπέμψωμεν. Ἐκεῖνα μίνα ἐστίν ἡμέτερα, ὅσα τῆς ψυχῆς ἐστι κατορθώματα, ἐλεημοσύνη καί φιλανθρωπία· οὐ γάρ δυνατόν χρήματα λαβόντα ἀπελθεῖν· μᾶλλον δέ καί προπέμψωμεν αὐτά, ὥστε ἑτοιμάσαι ἡμῖν σκηνήν ἐν ταἰς αἰωνίαις μοναῖς.

Ἐλεημοσύνης χωρίς, ἄκαρπος ἡ ψυχή. Πάντα ἀκάθαρτα ταύτης χωρίς, πάντα ἀνόνητα. Τοῦτό ἐστιν ᾧ ἐξισοῦσθαι δυνάμεθα τῷ Θεῷ, τό ἐλεεῖν καί οἰκτείρειν. Ὅταν οὖν τοῦτο μή ἔχωμεν, τοῦ παντός ἀπεστερήμεθα. Οὐκ εἶπεν, Ἐάν πιστεύσητε ὅμοιοί ἐστε τῷ Πατρί ὑμῶν. Οὐκ εἶπεν, Ἐάν παρθενεύσητε· ἀλλά τί; Γίνεσθε οἰκτίρμονες, ὡς ὁ Πατήρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς. Ἔλεον γάρ, φησί, θέλω, καί οὐ θυσίαν.

Ὧν βουλόμεθα τυχεῖν παρά τοῦ Θεοῦ, τούτων πρότεροι μεταδιδόναι, τοῖς πλησίον ὀφείλομεν. Ἄν δέ τούς πλησίον τούτων ἀποστερῶμεν, πῶς τούτων τυχεῖν βουλόμεθα. Μακάριοι, φησίν, οἱ ἐλεήμονες, (=768=) ὅτι αὐτοί ἐλεηθήσονται· ἀνίλεως δέ κρίσις τῷ μή ποιήσαντι ἔλεος.

Ἔκτεινόν σου τάς χεῖρας, μή εἰς τόν οὐρανόν, ἀλλ᾽ εἰς τάς τῶν πενήτων χεῖρας. Ἐάν εἰς τάς τῶν πενήτων ἐκτείνης τήν χεῖρα, αὐτῆς ἥψω τῆς κορυφῆς τοῦ οὐρανοῦ· ὁ γάρ ἐκεῖ καθήμενος λαμβάνει τήν ἐλεημοσύνην. Ἄν δέ ἀκάρπους ἀνατείνης, οὐδέν ὤνησας. Οὐ γάρ ἐν τῇ ἐκτάσει τῶν χειρῶν, οὐδέ ἐν τῷ πλήθει τῶν ῥημάτων, ἀλλ᾽ ἐν τοῖς ἔργοις ἐπακούεσθαι ἔστιν. Ἄκουε γάρ τοῦ Προφήτου λέγοντος· Ὅταν τάς χεῖρας ὑμων ἐκτείνητε, ἀποστρέψω τούς ὀφθαλμούς μου ἀφ᾽ ὑμῶν· καί ἐάν πληθύνητε τήν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν. Κρίνατε δέ μᾶλλον ὀρφανῷ καί ταπεινῷ, καί δικαιώσατε χήραν, καί μάθετε καλόν ποιεῖν.

Εἰ μή πένητες ἦσαν,οὐκ ἄν τό πολύ τῶν ἁμαρτημάτων ὑποτέμνετο. Ἰατροί τῶν τραυμάτων εἰσί τῶν ἡμετέρων οἱ πένητες· φάρμακα ἡμῖν παρέχουσι τάς αὐτῶν χεῖρας. Οὐχ οὕτως ἰατρός (≡15E_078≡> χεῖρας ἐκτείνων καί φάρμακα ἐπιτιθείς, τήν ἰατρείαν παρέχει, ὡς πένης χεῖρα ἐκτείνων καί τά παρ᾽ ἡμῶν λαμβάνων, ἐκμαγεῖον τῶν ἡμετέρων ἐστί κακῶν. Ἔδωκας τό ἀργύριον, συνεξῆλθε καί ἁμαρτήματα. Τοιοῦτοι γάρ οἱ ἱερεῖς, ἁμαρτίας λαοῦ μου φάγονται.

Τυφλός οἶδεν ἐλεούμενος εἰς οὐρανῶν βασιλείαν χειραγωγεῖν· καί τοίχοις προσκρούων, καί βόθροις ἐνολισθαίνων, οὗτος ὁδοποιός γίνεται τῆς εἰς οὐρανόν ἀναβάσεως.

Τί ματαιοπονεῖς, ὦ πλούσιε, τά τῶν πενήτων ἐν τοῖς σοῖς θησαυροῖς ἀποκρύπτων; τί αἰτούμενος παρ᾽ αὐτῶν ἀγανακτεῖς, ὡς οἴκοθεν ἀναλίσκων; Τά πατρῷα θέλουσιν, οὐ τά σά· τά ἐγχειρισθέντα σοι δι᾽ αὐτούς, οὐ μετά σοῦ γεννηθέντα. Ἅ ἔλαβες, δός, καί τήν χρῆσιν κέρδανον. Ἀρκεῖ σοι ὅτι διδόναι, οὐ λαμβάνειν ἐτάχθης.

Οὐδέν οὕτως εὐφραίνει τόν Θεόν, ὡς ἐλεημοσύνη. Διό οἱ ἱερεῖς κατά τό παλαιόν, ἔλαιον ἐχρίοντο, καί οἱ βασιλεῖς καί οἱ προφῆται. Τῆς γάρ τοῦ Θεοῦ φιλανθρωπίας εἶχον σύμβολον τό ἔλαιον. Ἐπειδή ὁ Θεός ἐλεεῖ τούς ἀνθρώπους καί φιλανθρωπεύεται, διά τοῦτο ἐλαίῳ ἐχρίοντο. Καί γάρ τήν ἱερωσύνην ἀπό ἐλέους ἐποίησεν· καί οἱ βασιλεῖς ἐλαίῳ ἐχρίοντο. Ἐλεήσει γάρ, φησί, πάντας, ὅτι πάντα δύναται. Τοῦτο γάρ ἀρχῆς ἴδιον, τό ἐλεεῖν. Ἐννόησον ὅτι δι᾽ ἔλεον ὁ κόσμος συνεστάθη, καί μίμησαι τόν Δεσπότην. Ἔλεος ἀνθρώπου ἐπί τόν πλησίον αὐτοῦ· Ἔλεος δέ Κυρίου ἐπί πᾶσαν σάρκα.

Μή χρήσῃ ῥῆμα γογγυσμοῦ μετά τῆς ἐπιδόσεως, ὅπερ πάσχουσιν οἱ πολλοί, διδόντες μέν, τό δέ προθύμως οὐ προστιθέντες, ὅ τοῦ παρέχειν μεῖζόν ἐστι καί τελεώτερον. Μηδέ δοκιμασίαν (≡15Ε_080≡> ζήτει τοῦ ληψομένου, ὅστις ἄξιος, καί ὅστις οὔ. Πολλῷ γάρ βέλτιον, οἶμαι, διά τούς ἀξίους ὀρέγειν καί τοῖς ἀναξίοις, ἤ τούς ἀξίους ἀποστερεῖν δά τούς ἀναξίους.

Κρεῖσσον τό κατά δύναμιν εἰσενεγκεῖν, ἤ τό πᾶν (=769=) ἐλλείπειν. Οὐ γάρ ὁ μή δυηνηθείς, ἀλλ᾽ ὁ μή βουληθείς ὑπαίτιος.

Γενοῦ τῷ πλησίον τιμιώτερος, ἐκ τοῦ φανῆναι χρηστότερος. Γενοῦ τῷ ἀτυχοῦντι θεός, τόν ἔλεον τοῦ Θεοῦ μιμούμενος.

Συμμετρεῖσθαι δεῖ τῷ αἰτουμένῳ τήν αἴτησιν. Ὁμοίως γάρ ἄτοπον παρά μικροῦ μεγάλα ζητεῖν, κκαί παρά μεγάλου μικρά. Τό μέν γάρ ἄκαιρον· τό δέ, σμικρολόγον.

Χρυσοστ.- Ὅταν διαθρέψῃς τόν πένητα, σαυτόν νόμιζε διατρέφειν. Τοιαύτη γάρ ἡ τοῦ πράγματος φύσις, ἐξ ἡμῶν εἰς ἡμᾶς μεταχωρεῖ τά διδόμενα.

Μή φοβηθῶμεν δικαστήν, πρό τοῦ δικαστηρίου τήν χεῖρα προτείνοντα. Μή φοβηθῶμεν δικαστήν οὐκ ἀρνούμενον τό λαβεῖν.

Πολλῆς ἀλογίας, ἀγρόν μέν βουλόμενον ὠνήσασθαι, τήν εὔφορον γῆν ἐπιζητεῖν· οὐρανοῦ δέ ἀντί γῆς προκειμένου, παρόν ἐκεῖ κτήσασθαι χωρίον, μένειν ἐπί τῆς γῆς, καί τῶν ἐκ ταύτης ἀνέχεσθαι πόνων.

Γρηγ. Νύσσης, Ὁ πτωχῷ κοινωνήσας, εἰς τήν μερίδα τοῦ δι᾽ ἡμᾶς πτωχεύσαντος ἑαυτόν καταστήσει.

Νείλου. - Καθάπερ ἴδιόν ἐστι τοῦ φωτός τό φωτίζειν, οὕτως ἴδιον Θεοῦ τό ἐλεεῖν καί οἰκτείρειν τά οἰκεῖα πλάσματα.

Τοῦ ἁγίου Εἰρηναίου ἐκ τῆς πρός Βίκτωρα ἐπιστολῆς. - Ἐν ᾧ ἄν τις δύναιτο εὖ ποιεῖν τοῖς πλησίον, καί οὐ ποιεῖ, ἀλλότριος τῆς ἀγάπης τοῦ Κυρίου νομισθήσεται.

Φίλωνος. - Τοιοῦτος γίνου περί τούς σούς οἰκέτας, οἷον (≡15Ε_082≡> εὔχῃ σοί τόν Θεόν γενέσθαι. Ὡς γάρ ἀκούομεν, ἀκουσθησόμεθα ὑπό τοῦ Θεοῦ· καί ὡς ὁρῶμεν, ὁραθησόμεθα ὑπ᾽ αὐτοῦ. Προενέγκωμεν οὖν τοῦ ἐλέου τόν ἔλεον, ἵνα τῷ ὁμοίῳ τό ὅμοιον ἀντιλάβωμεν.

Δημοσθ. - Δίκαιόν ἐστιν ἐλεεῖν, οὐ τούς ἀδίκους τῶν ἀνθρώπων, ἀλλά τούς παρά λόγον δυστυχοῦντας.

Βίαντ. - Βίας θανάτῳ μέλλων καταδικάζειν τινά, ἐδάκρυσεν. Εἰπόντος δέ τινος, Τί παθών, αὐτός καταδικάζων κλαίεις ; εἶπεν· Ὅτι ἀναγκασθαῖόν ἐστι, τῇ μέν φύσει τό συμπαθές ἀποδοῦναι, τῷ δέ νόμῳ τήν ψῆφον.

Φωκίων. - Οὔτε ἐξ ἱεροῦ βωμόν, οὔτε ἐκ τῆς ἀνθρωπίνης φύσεως ἀφαιρετέον τόν ἔλεον.

Δημοκρίτ. Ἰσοκράτ. καί Ἐπικτήτου. - Ξένοις μεταδίδου, καί τοῖς δεομένοις ἐκ τῶν ὄντων· ὁ γάρ μή διδούς δεομένῳ, οὐδέ αὐτός λήψεται δεόμενος.

Πειρατῇ τινι ἐμπεσόντι εἰς τήν γῆν, καί διαφθειρομένῳ χειμῶνος, περιβόλαιόν τις ἄρας, δέδωκεν, καί εἰς τήν οἰκίαν εἰσαγαγών, τά ἑξῆς πάντα παρέσχεν. Ὀνειδισθείς δέ ὑπό τινος, ὅτι τούς πονηρούς (=772=) εὐεργετεῖ· Οὐ τόν ἄνθρωπον, ἔφη, ἀλλά τό ἀνθρώπινον τετίμηκα.

Χαρικλείας. - Ξένη ἐν γῇ, τό μέν ὤνιον, σπάνιον ταῖς ἀγνοοῦσιν· τό δέ αἰτούμενον, εὐμετάδοτον τοῖς ἐλεοῦσι.

ΛΟΓΟΣ Η΄.

## Περί εὐεργεσίας καί χάριτος.

(≡15Ε_084≡> Λουκ. στ΄. - Καθώς ἐθέλετε ἵνα ποιῶσιν ὑμῖν ἄνθρωποι, καί ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως.

Α' Ἰωάνν. γ΄. - Ὁ ἀγαθοποιῶν, ἐκ τοῦ Θεοῦ ἐστιν· ὁ δέ κακοποιῶν, οὐχ ἑώρακε τόν Θεόν.

Σιράχ ιη'. - Κρεῖσσον ὁ λόγος ἀγαθός, ἤ δόσις· ἀγαθός λόγος ὑπέρ δόμα.

Σιράχ ιζ΄. - Χάριν ἀνθρώπου, ὡς κόρην ὀφθαλμοῦ συντήρησον.

Σιράχ λγ΄. - Ὁ ἀναποδιδούς χάριτας, μέμνηται καί εἰς τά μετά ταῦτα· καί ἐν καιρῷ πτώσεως αὐτοῦ εὑρήσει στήριγμα.

Βασιλείου. - Ὥσπερ γάρ οἱ ὀφθαλμοί, τό ἄγαν προσκείμενον οὐχ ὁρῶσιν, ἀλλά δέονται συμμέτρου τινός ἀποστάσεως· οὕτω καί αἱ ἀχάριστοι ψυχαί ἐοίκασιν ἐν τῇ ἀπαλλοτριώσει τῶν ἀγαθῶν τῆς παρελθούσης χάριτος ἐπαισθάνεσθαι.

Θεολόγου. - Ἕως πλεῖς ἐξ οὐρίας, τῷ ναυαγοῦντι δός χεῖρα· ἕως δέ εὐεκτεῖς καί πλουτεῖς, τῷ κακοπαθοῦντι βοήθησον.

Οὐδέν οὕτως ὡς τό εὖ ποιεῖν ἄνθρωπος ἔχει Θεοῦ, κἄν ὁ μέν μείζω, ὁ δέ ἐλάττω εὐεργετῇ, ἑκάτερος, οἶμαι , κατά τήν ἑαυτοῦ δύναμιν.

Χρυσοστ. - Ευεργετῶν, νόμιζε μιμεῖσθαι Θεόν.

Ὁρῶμεν πολλούς τῶν ἀνθρώπων, μετά τάς εὐεργεσίας, καθάπερ ἀνδραπόδων οὕτως ὑπερορῶντας τῶν εὐεργετησάντων, καί τά ὀφρῦς ἀνασπώντων κατ᾽ αὐτῶν.

(≡15Ε_086≡> Εὐεργετῶμεν τούς μηδέ αἰσθανομένους ὅτι εὐεργετοῦνται, ἵνα μή ἀντιδιδόντες ἡμῖν ἔπαινον, ἤ ὅ τι δήποτε, ἐλαττώσωσιν ἡμῖν τόν

μισθόν. Ὅταν γάρ μηδέν παρά ἀνθρώπων λάβωμεν, τότε μείζοντα παρά Θεοῦ ληψόμεθα.

Ἀρκεῖ πολλαχοῦ καί προαίρεσις μέγα ποιῆσαι ἀγαθόν.

Οὐκ εὖ ποιεῖ ὁ εὖ ποιῶν, ἀλλ᾽ εὖ πάσχει αὐτός, καί εὐεργετεῖται μᾶλλον, οὐκ εὐεργετεῖ. Μείζονα γάρ λαμβάνει ἤ δίδωσι. Θεῷ γάρ δανείζει, οὐκ ἀνθρώποις· αὔξει τόν πλοῦτον οὐ μειοῖ· μειοῖ δέ, ἐάν μή ἐλαττώσῃ, ἐάν μή δῷ.

(=773=) Χρυσοστ. - Ὁ μέν πρῶτον εὐεργετῶν, φανεράν ἐπιδείκνυται τήν χρηστότητα· ὁ δέ εὐεργετηθείς, ὅ τι ἄν ἀποδῷ, ὀφείλημα ἀποδίδωσιν, οὐ χάριν ἀποτίθεται.

Κλήμεντος Ῥώμης. - Οὐ δίκαιόν ἐστι τοῦ δεδωκότος ἐγκαταλειφθέντος, τά δοθέντα παραμένειν τοῖς ἀγνώμοσιν

Τοῦ Νύσσης. - Ὁ θελήσαας τό ἀγαθόν μόνον, κωλυθείς δέ πρός τό καλόν τῷ μή δύνασθαι, κατ᾽ οὐδέν ἐλαττοῦται τῆς ψυχῆς διαθέσει, τοῦ διά τῶν ἔργων τήν γνώμην δείξαντος.

Φίλων. - Οὐδέν οὕτω εὐάγωγον εἰς εὔνοιαν, ὡς ἡ τῶν εὐεργετημάτων εὐφημία.

Πλέον ἀγάπα βασιλεῦ, τούς λαμβάνειν παρά σοῦ χάριτας ἱκετεύοντας, ἤπερ τούς σπουδάζοντας δωρεάς σοι προσφέρειν. Τοῖς μέν γάρ ὀφειλέτης ἀμοιβῆς καθίσταται· οἱ δέ σου τόν ὀφειλέτην ποιήσουσι τόν οἰκειούμενον τά εἰς αὐτούς γινόμενα, και ἀμειβόμενον ἀγαθαῖς ἀντιδόσεσιν τόν φιλάνθρωπόν σου σκοπόν.

Τοῦ αὐτοῦ, ἄλλ. Πλουτ. - Ἡ χάρις ὥσπερ ἡ σελήνη, ὅταν τελεία γένηται, τότε καλή φαίνεται.

Δημοκρίτ. - Θεῷ ὅμοιον ἔχει ὁ ἄνθρωπος, ὅταν τό εὖ ποιεῖν μή καπηλεύηται· καί τό εὐεργετεῖν καί τό ἀληθεύειν.

Ὁ αὐτός ἰδών τινα προχείρως πᾶσι χαριζόμενον, καί ἀνεξετάστως (≡15E_088≡> ὑπηρετούμενον, Κακῶς, εἶπεν, ἀπόλοιο, ὅτι τάς Χάριτας παρθένους οὔσας, πόρνας ἐποίησας.

Μοσχίωνος. - Τό μέν εἰς ἀχάριστον ἀναλῶσαι, ἐπιζήμιον· τό δέ εἰς εὐχάριστον μή ἀναλῶσαι, βλαβερόν.

Κάτωνος. - Οἱ πολλοί τῶν ἀνθρώπων, πρός μέν τάς τιμωρίας ἑτοιμοτέρως ἔχουσι· πρός δέ τάς εὐεργεσίας καί φιλίας, ὑπτίως.

Ἀλέξανδρ. - Ξενοκράτει τῷ φιλοσόφῳ πεντήκοντα τάλαντα πέμψας, ὡς οὐκ ἐδέξατο, μή δεῖσθαι φήσας, ἐρώτησεν, εἰ μηδέ φίλον ἔχει Ξενοκράτης· Ἐμοί γάρ, ἔφη, μόλις ὁ Δαρείου πλοῦτος εἰς τούς φίλους ἤρκεσεν.

Τινός δέ τῶν αὐτοῦ φίλων αἰτήσαντος αὐτόν εἰς προῖκα τῆς θυγατρός, ἐκέλευσε πεντήκοντα τάλαντα λαβεῖν· αὐτοῦ δέ φήσαντος, ἱκανά εἶναι δέκα, Σοί μέν, ἔφη, λαβεῖν, ἐμοί δέ οὐχ ἱκανά εἶναι δέκα δοῦναι.

Ὁ αὐτός πληρώσας ποτέ ὀστέων πίνακα, ἔπεμψε Διογένει τῷ Κυνικῷ φιλοσόφῳ· ὁ δέ λαβών, εἶπεν, Κυνικόν μέν τό βρῶμα, οὐ βασιλικόν δέ τό δῶρον.

Ὁ αὐτός εἶπεν, τῆς αὐτῆς ἁμαρτίας εἶναι, τό διδόναι οἷς μή δεῖ, καί τό μή διδόναι οἷς δεῖ.

Διογένης ἐρωτηθείς ὑπό τινος, διά τίνα αἰτίαν οἱ ἄνθρωποι, τοῖς μέν προσαιτοῦσι, διδόασι· τοῖς δέ φιλοσοφοῦσιν, οὐδαμῶς, εἶπεν, Ὅτι χωλοί μέν καί τυφλοί ἴσως ἐλπίζουσι γενέσθαι, φιλόσοφοι δέ οὔ.

Φιλιστίων.

Τῇ γῇ δανείζειν κρεῖττόν ἐστιν ἤ βροτοῖς,
Ἥτις τόκους δίδουσι μή λυπουμένη.

(=776=) Λυσάνδρ. - Λύσανδρος, Διονυσίου τοῦ τυράννου πέμψαντος ἱμάτια ταῖς θυγατράσιν αὐτοῦ τῶν πολυτελῶν, οὐκ ἔλαβεν, εἰπών, δεδιέναι μή διά ταῦτα μᾶλλον αἰσχραί φανῶσιν.

Ἡ χάρις, ὡς οὐδέν ἄλλο ἐν βίῳ, τοῖς πολλοῖς τάχιστα γηράσκει.

(≡15E_090≡> Δημοσθ. - Οἱ μή χρησάμενοι τοῖς καιροῖς [κακοῖς] ὀρθῶς, οὐδέ εἰ συνέβη τι αὐτοῖς παρά τοῦ Θεοῦ χρηστόν, μνημονεύουσιν.

Ὁ αὐτός ἔλεγεν, Τόν μέν διδόντα χάριν, χρή παραχρῆμα ἐπιλανθάνεσθαι· τόν δέ λαμβάνοντα, διά παντός μεμνῆσθαι.

Ἡρακλείτου Φυσικοῦ. - Ἡ εὔκαιρος χάρις, λιμῷ καθάπερ τροφή ἁρμόττουσα, τήν τῆς ψυχῆς ἔνδειαν ἰᾶται.

Μενάνδρου.

Ὅταν ἑτερός σοι μηδέν πλεῖον διδῷ,
Δέξαι τό μόριον· τοῦ λαβεῖν γάρ μηδέν,
Τό λαβεῖν ἔλαττον, πλεῖον ἔσται σοι πολύ.

**ΛΟΓΟΣ Θ΄.**

## Περί ἀρχῆς καί ἐξουσίας.

(≡15E_092≡> Σιράχ λη΄. - Μή δῷς μῶμον ἐν τῇ δόξῃ σου, καί ἐν ἡμέρα δόξης μή ἐπαίρου.

Βασιλείου. - Βασιλεία ἐστίν ἔννομος ἐπιστασία.

Αἱ οὖν παρά βασιλέως διδόμεναι ὑποθῆκαι, τοῦ γε ἀληθῶς τῆς προσηγορίας ταύτης ἀξίου, πολύ τό νόμιμον ἔχουσι, τό κοινῇ πᾶσι λυσιτελές σκοποῦσαι, καί οὐχί πρός τόν σκοπόν τῆς ἰδίας ὠφελείας συντεταγμέναι. Τοῦτο γάρ διαφέρει τύραννος βασιλέως, ὅτι ὁ μέν τό ἑαυτοῦ πανταχόθεν σκοπεῖ· ὁ δέ, τό τοῖς ἀρχομένοις ὠφέλιμον ἐκπορίζει.

Παροιμ. κα΄. - Εἰ καρδία βασιλέως ἐν χειρί Θεοῦ, οὐ σώζεται διά ὁπλιτικήν δύναμιν, ἀλλά διά τήν θείαν χειραγωγίαν. Ἐν χειρί δέ Θεοῦ ἐστιν, οὐχ ὁ τυχών, ἀλλ᾽ ὁ ἄξιος τῆς τοῦ βασιλέως προσηγορίας.

Πρός τό τοῦ ἄρχοντος ἦθος πλάττεσθαι πέφυκεν ὡς τά πολλά τό ἀρχόμενον· ὥστε ὁποῖοί ποτε οἱ ἄγοντες ὦσι, τοιοῦτον ἀνάγκη καί τό ἀ(να)γόμενον εἶναι.

Παλαιός ἐστι λόγος, τούς ἀρετῆς μεταποιουμένους, μεθ᾽ ἡδονῆς αὐτούς μή ἐπιβάλλειν ἀρχαῖς.

Θεολόγου. - Ἀνθρώπῳ χαλεποῦ ὄντος τό (777) εἰδέναι ἄρχεσθαι, κινδυνεύει πολλῷ χαλεπώτερον εἶναι τό εἰδέναι ἄρχειν ἀνθρώπων.

Ἡ μέν ἀταξία, ἀναρχίας ἐστί γνώρισμα· ἡ δέ τάξις, τόν ἡγεμονεύοντα δείκνυσι. Τί γάρ ὄφελος κυβερνήτῃ εἶναι χρηστόν, πονηροῖς χρώμενον ἐρέταις;

(≡15E_094≡> Μή τις ἐνόν ἀκινδύνως ἕπεσθαι, ἄρχειν ἐπικινδύνως ἐπιθυμείσθω· μηδ᾽ ὁ τῆς ὑποταγῆς νόμος καταλυέσθω, ὁ καί τά ἐπίγεια συνέχει καί τά οὐράνια.

Οἱ βασιλεῖς, αἰδεῖσθε τήν ἁλουργίδα· νομοθετήσει γάρ καί νομοθέταις ὁ λόγος. Γινώσκετε τί τό πιστευθέν ὑμῖν, καί τί τό περί ὑμᾶς μυστήριον. Κόσμος ὅλος ὑπό χεῖρα τήν ἡμετέραν διαδήματι μικρῷ καί βραχεῖ ῥακίῳ κρατούμενος. Τά μέν ἄνω, μόνου Θεοῦ· τά δέ κάτω, καί ὑμῶν. Θεοί γίνεσθε τοῖς ὑφ᾽ ὑμᾶς· ἵνα εἴπω τι καί τολμηρότερον· Καρδία βασιλέως ἐν χειρί Θεοῦ, καί εἴρηται καί πεπίστευται. Ἐνταῦθα ἔσω τό κράτος ὑμῶν, ἀλλά μή ἐν τῷ χρυσῷ καί ταῖς φάλαγξι.

Τό δραστήριον δείκνυε μή τῷ δρᾷν κακῶς, τῷ δ᾽ εὖ τι ποιεῖν, εἰ θέλεις εἶναι θεός. Τό δέ ἔστιν ἀνδρός εἰδότος συγγενεῖς· κτείνει δέ ῥᾷστα καί τρυγών καί σκορπίος.

Χρυσπστ. - Τιμῆς μέγεθος, τοῖς οὐκ ἀξίως ζῆν προαιρουμένοις, προσθήκη τιμωρίας ἐστίν.

Βασιλείας τοῦ Θεοῦ δύο οἶδεν ἡ Γραφή, τήν μέν κατ᾽ οἰκείωσιν, τήν δέ κατά δημιουργίαν, Βασιλεύει μέν γάρ ἁπάντων, καί Ἑλλήνων, καί Ἰουδαίων, καί δαιμόνων, καί τῶν ἀντιτεταγμένων, κατά τόν τῆς δημιουργίας λόγον.

Ὅταν ἄρχων ἀνεπίληπτος ᾖ πᾶσι, τότε δύναται μεθ᾽ ὅσης βούλεται ἐξουσίας καί κολάζειν καί συγχωρεῖν, τούς ὑπ᾽ αὐτῷ ταττομένους ἅπαντας.

Οὐδέν οὕτω δείκνυσι τόν τήν ἀρχήν ἔχοντα ὡς ἡ φιλοστοργία περί τούς ἀρχομένους. Καί γάρ πατέρα οὐ τό γεννῆσαι μόνον ποιεῖ, ἀλλά καί τό φιλεῖν μετά τό γεννῆσαι. Εἰ δέ ἔνθα φύσις, ἀγάπης χρεία, πολλῷ μᾶλλον ἔνθα ἡ χάρις.

(≡15E_096≡> Οὐκ ἐν τῇ χλανίδι καί τῇ ζώνῃ, οὐδέ ἐν τῇ φωνῇ τοῦ κήρυκος ἄρχων, ἀλλ᾽ ἐν τῷ τά πεπονηκότα ἀνακτᾶσθαι, καί τά κακῶς ἔχοντα διορθοῦν· καί κολάζειν μέν ἀδικίαν· μή συγχωρεῖν δέ ὑπό δυναστείας τό δίκαιον ἀπελαύνεσθαι.

Φίλων. - Ὁ μέν Θεός οὐδενός δεῖται· ὁ βασιλεύς δέ, μόνου Θεοῦ. Μιμοῦ τοίνυν τόν οὐδενός δεόμενον, καί δαψιλεύου τοῖς αἰτοῦσι τόν ἔλεον, μή ἀκριβολογούμενος περί τούς σούς ἱκέτας, ἀλλά πᾶσι παρέχων

τάς πρός τό ζῆν ἀφορμάς. Πολύ γάρ κρεῖττόν ἐστι διά τούς ἀξίου ἐλεεῖν καί τούς ἀναξίους, (=780=) καί μή τούς ἀξίους ἀποστερεῖν διά τούς ἀναξίους.

Ἀριστοτέλ. - Ὁ πολλοῖς φοβερός ὤν, πολλούς φοβεῖται.

Δεῖ τούς νοῦν ἔχοντας τῶν δυναστευόντων, μή διά τάς ἀρχάς, ἀλλά διά τάς ἀρετάς θαυμάζεσθαι, ἵνα τύχης μεταπεσούσης, τῶν αὐτῶν ἐγκωμίων ἀξιῶνται.

Ἰσοκράτ. - Ζήλου μή τούς μεγίστην ἀρχήν κτησαμένους, ἀλλά τούς ἄριστα τῇ παρούσῃ χρησαμένους.

Κάκιστον ἔλεγεν ἄρχοντα εἶναι, τόν ἄρχειν ἑαυτοῦ μή δυνάμενον.

Δημοκρίτ. - Ποθητός εἶναι μᾶλλον ἤ φοβερός κατά τόν βίον προαιροῦ· ὅν γάρ πάντες φοβοῦνται, πάντας φοβεῖται.

Τόν ἄρχοντα δεῖ ἔχειν, πρός μέν τούς καιρούς λογισμόν· πρός δέ τούς ἐναντίους τόλμαν· πρός δέ τούς ὑποτεταγμένους εὔνοιαν.

Δεῖ τόν ἑτέρων μέλλοντα ἄρξειν, αὐτόν ἑαυτοῦ πρότερον ἄρχειν.

Κλειτάρχ. - Κρεῖσσον ἄρχεσθαι τοῖσιν ἀνοήτοις, ἤ ἄρχειν.

Διογένης. - Ἐρωτηθείς πῶς ἄν τις πολιτεύηται ἐξουσίᾳ, ἔφη· Καθάπερ πυρί, μήτε λίαν ἐγγύς εἶναι, ἵνα μή κατακαῇ· μήτε πόῤῥω, ἵνα μή ῥιγώσῃ.

Κύρου. - Ἄρχειν οὐδενί προσήκει, ὅς οὐ κρείττων ἐστί τῶν ἀρχομένων.

(≡15E_098≡> Σολ. - Ἄρχε πρῶτον μαθών ἄρχεσθαι· ἄρχεσθαι γάρ μαθών, ἄρχειν ἐπιστήσῃ.

Εἰς ἀρχήν κατασταθείς, μηδενί χρῶ πονηρῷ πρός τάς διοικήσεις. Ὧν γάρ ἄν ἐκεῖνος ἁμάρτοι, σοί τάς αἰτίας τῷ ἄρχοντι ἐπιθήσουσιν.

Ὥσπερ τόν ἐν δημοκρατίᾳ πολιτευόμενον, τό πλῆθος δεῖ θεραπεύειν· οὕτω καί τόν ἐν μοναρχίᾳ κατοικοῦντα, τόν βασιλέα προσήκει θαυμάζειν.

Χαιρέμον. - Ὅλως κρεῖσσον, οὐκ ἐᾷ φρονεῖν μέγα.

Ἀντίγον. - Ἀντίγονος ὁ βασιλεύς, πρός τινα μακαρίζουσαν αὐτόν γραῦν· Εἰ ᾔδεις, ἔφη, ὦ μῆτερ, ὅσων κακῶν ἐστι τοῦτο τό ῥάκος, δείξας τό διάδημα, οὐκ ἄν ἐπί κοπρίας κείμενον ἐβάστασας.

Ἐπαμιν. - Ἐπαμινώνδας ὁ Θηβαῖος ἰδών (781) στρατόπεδον μέγα καί καλόν, στρατηγόν οὐκ ἔχον· Ἡλίκον, ἔφη, θηρίον κεφαλήν οὐκ ἔχει.

Φιλίππου. - Τόν βασιλέαν δεῖ μνημονεύειν, ὅτι ἄνθρωπος ὤν ἐξουσίαν εἴληφεν [ἔλαβεν] ἰσόθεον, ἵνα προαιρῆται μέν τά καλά καί θεῖα, φρονήσει δέ ἀνθρωπίνῃ χρῆται.

Εἰ βούλει τήν οἰκίαν εὖ οἰκεῖσθαι, μιμοῦ τόν Σπαρτιάτην Λυκοῦργον. Ὅν γάρ τρόπον οὐ τείχεσι τήν πόλιν ἔφραξεν, ἀλλ᾽ ἀρετῇ τούς ἐνοικοῦντας ὠχύρωσεν, καί διαπαντός ἐτήρησεν ἐλευθέραν τήν πόλιν· οὕτως καί σύ, μή μεγάλην αὐτήν περίβαλε καί τοίχους ὑψηλούς ἀνίστα, ἀλλά τούς ἐνοικοῦντας εὐνοίᾳ, καί πίστει, καί φιλία στήριζε, καί οὐδέν εἰς αὐτήν εἰσελεύσεται βλαβερόν, οὐδ᾽ ἄν τό σύμπαν τῆς κακίας παρατάξηται στίφος.

Μηδείς τῶν φρονίμων τοῦ ἄρχειν ἀλλοτριούσθω. Καί γάρ ἀσεβές τό ἀποσπᾷν ἑαυτόν τῆς τῶν δεομένων εὐχρηστίας [εὐχαριστ.] καί ἀγενές τό τοῖς φαύλοις παραχωρεῖν. Ἀνόητον γάρ τό αἱρεῖσθαι κακῶς ἄρχεσθαι μᾶλλον, ἤ καλῶς ἄρχειν.

Δεινόν καί χαλεπώτατον τούς χείρους τῶν βελτιόνων ἄρχειν, καί τούς ἀνοητέρους τοῖς φρονιμωτέροις προστάττειν.

(≡15E_100≡> Εὐμένης. - Εὐμένης ὁ βασιλεύς ἔλεγε τοῖς ἀδελφοῖς διαπαντός· Ἐάν μέν ὡς βασιλεῖ προσφέρησθε, ὡς ἀδελφοῖς ὑμῖν χαρίσομαι· ἐάν δέ ὡς ἀδελφῷ, ἐγώ ὑμῖν ὡς βασιλεύς.

Κότυς. - Κότυς ὁ τῶν Θρακῶν βασιλεύς, Θηβαίων σεμνυνομένων ὅτι Λακεδαιμονίων ἡγήσαντο· Ἐγώ, φησίν, ἑώρακα χειμάῤῥους ποταμῶν μείζους τῶν ἀεννάων γινομένους, ἀλλ᾽ ὀλίγον χρόνον.

Ὁ αὐτός ἐρωτηθείς, Τίνι καταλιμπάνεις τό βασίλειον; ἔφη· Τῷ δυναμένῳ.

Φίλων. - Τῇ μέν οὐσίᾳ τοῦ σώματος, ἴσος παντός ἀνθρώπου ὁ βασιλεύς· τῇ ἐξουσίᾳ δέ τοῦ ἀξιώματος, ὅμοιός ἐστι τό ἐπί πάντων Θεῷ. Οὐκ ἔχει γάρ ἐπί γῆς αὐτοῦ ὑψηλότερον. Χρή τοίνυν καί ὡς θνητόν μή ἐπαίρεσθαι, καί ὡς Θεόν μή ὀργίζεσθαι. Εἰ γάρ καί εἰκόνι θεϊκῇ τετίμηται, ἀλλά καί κόνει χοϊκῇ συμπέπλεκται, δι᾽ ἧς ἐκδιδάσκεται τήν πρός πάντας ἁπλότητα [ὁμοιότητα].

Μουσωνίου. - Πειρατέον καταπληκτικόν μᾶλλον τοῖς ὑπηκόοις, ἤ φοβερόν θεωρεῖσθαι· τῷ μέν γάρ σεμνότης [τό σεμνότητος], τῷ δέ ἀπήνεια παρακολουθεῖ.

Δημοκρίτ. - Πονηρά φύσις ἐξουσίας ἐπιλαβομένη, δημοσίας ἀπεργάζεται συμφοράς.

Ἀντισθέν. - Τότε τάς πόλεις ἀπόλλυσθαι συμβαίνει, ὅταν μή δύνανται οἱ κρατοῦντες τούς φαύλους ἐκ τῶν σπουδαίων διακρίνειν.

Ἐπισφαλές μαινομένῳ δοῦναι μάχαιραν, καί μοχθηρῷ δύναμιν.

Μενάνδρου. - Πλοῦτος ἀλόγιστος προσλαβών ἐξουσίαν, καί τούς φρονεῖν δοκοῦντας ἀνοήτους ποιεῖ.

Δημοσθ. - Τό γάρ εὖ πράττειν παρά τήν ἀξίαν, (784) ἀφορμήν τοῦ κακῶς φρονεῖν παρά τήν ἀξίαν γίνεται.

**ΛΟΓΟΣ Ι΄.**

## Περί ψόγου καί διαβολῆς.

(≡15E_102≡> Ματθ. Ε΄. - Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς καί διώξωσιν, καί εἴπωσι πᾶν πονηρόν ῥῆμα καθ᾽ ὑμῶν ψευδόμενοι ἕνεκεν ἐμοῦ.

Κορινθ. Δ΄.- Λοιδορούμενοι, εὐλογοῦμεν· βλασφημούμενοι, παρακαλοῦμεν.

Παροιμ. Ι΄. - Καλύπτουσιν ἔχθραν χείλη δίκαια· οἱ δέ ἐκφέροντες λοιδορίας, ἀφρονέστατοί εἰσι.

Σιράχ ΚΗ΄. - Ἀνήρ ἁμαρτωλός ταράξει φίλους, καί ἀναμέσον εἰρηνευόντων βαλεῖ διαβολήν· κατά τήν ὕλην τοῦ πυρός οὕτως ἐκκαυθήσεται.

Ἐκκλησ. ΙΑ΄. - Οὐ τά ῥήματα πέφυκε τάς λύπας κινεῖν· ἀλλ᾽ ἡ κατά τοῦ λοιδορήσαντος ἡμᾶς ὑπεροψία, καί ἡ ἑκάστου αὐτῶν ὑπεροψία.

Πεφύκασί πως ταῖς μεγάλαις δυναστείαις αἱ ἀνελεύθεροι αὗται παραφύεσθαι θεραπεῖαι, αἱ διά τό ἀπορεῖν οἰκείου ἀγαθοῦ δι᾽ οὗ γνωρισθῶσιν, ἐκ τῶν ἀλλοτρίων κακῶν ἑαυτούς συνιστῶσιν.

Θεολόγου. - Τό μέν γάρ ἐπιτιμᾶν, οὐ μέγα· ῥᾷστον γάρ καί τοῦ βουλομένου παντός· τό δέ ἀντεισάγειν τήν ἑαυτοῦ γνώμην, ἀνδρός εὐσεβοῦς καί νοῦν ἔχοντος.

Κακῶς ἀκούειν κρεῖσσον, ἤ λέγειν κακῶς.

Ἅπτεται οὐ τῶν πολλῶν μόνον, ἀλλά καί τῶν ἀρίστων ὁ μῶμος.

(≡15E_104≡> Χρυσοστ. - Ὥσπερ τό καλῶς λέγειν καί ἐγκωμιάζειν ἀρχή φιλίας ἐστίν· οὕτω τό κακῶς λέγειν καί διαβάλλειν, ἔχθρας, καί ἀπεχθείας, καί μηρίων κακῶν ἀρχή καί ὑπόθεσις γέγονεν.

Οὐ δυνατόν τούς ἐν ἀρετῇ ὄντας παρά πάντων ἀκούειν καλῶς.

Εἰ δέ παραδεχόμενοι ἀκοήν ματαίαν οὐκ ἄν τύχοιεν συγγνώμης· οἱ διαβάλλοντες καί λοιδοροῦντες ποίαν ἕξουσιν ἀπολογίαν;

Μή τό κακῶς ἀκούειν ἀλγῶμεν, ἀλλά τῷ δικαίως ἀκούειν κακῶς.

Οἱ πολλοί τῶν ἀνθρώπων, τῶν μέν ἰδίων ἁμαρτημάτων συνήγοροι γίνονται· τῶν δέ ἀλλοτρίων κατήγοροι.

Πλουτάρχου. - Γλῶσσα βλάσφημος, διανοίας κακῆς ἔλεγχος.

Ἰσοκράτ. - Εὐλαβοῦ τάς διαβολάς, κἄν ψευδεῖς (=785=) ὦσιν. Οἱ γάρ πολλοί, τήν μέν ἀλήθειαν ἀγνοοῦσι, πρός δέ τήν δόξαν ἀποβλέπουσιν.

Οὗτος ἀκούσας παρά τινος, ὅτι Ὁ δεῖνα ἐπ᾽ ἐμοῦ τάδε κατά σοῦ ἐλοιδόρει· Εἰ μή σύ, εἶπεν, ἡδέως ἤκουσας, οὐκ ἄν ἐκεῖνος ἐλοιδόρει.

Δημοκρίτ. - Ἡ μέν μάχαιρα τέμνει· ἡ δέ διαβολή χωρίζει φίλους.

Σωκράτης. - Ἀπαγγείλαντός τινος αὐτῷ, ὅτι Ὁ δεῖνά σε κακῶς λέγει, Καί τυπτέτω με, ἔφη, μή παρόντα.

Ψίθυρον καί διάβολον ἄνδρα, μή παραδέχου. Οὐ γάρ ἕνεκεν εὐνοίας τοῦτο ποιεῖ. Ὡς γάρ τά τῶν ἄλλων ἀπόῤῥητα ἀπεκάλυψέ σοι, ὡσαύτως καί τά ὑπό σοῦ λεγόμενα ἑτέροις ἀναθήσεται.

Μοσχίωνος. - Ὑπό πολλῶν διαβάλλεσθαι κακῶν, οὔτε ἀληθές, οὔτε βλαβερόν· τό δέ ὑφ᾽ ἑνός ἀγαθοῦ ψέγεσθαι, καί ἀληθές καί λυσιτελές.

Δημώνακτ. - Τινός σοφιστοῦ αἰτιωμένου αὐτόν, καί λέγοντος, Διατί με κακῶς λέγεις; Ὅτι μή καταφρονεῖς, ἔφην, τόν κακῶς λέγοντα.

(≡15E_106≡> Διογένης. - Λοιδορούμενος ὑπό τινος φαλακροῦ, ἔφη· Σέ μέν οὐχ ὑβρίζω, τάς δέ τρίχας σου ἐπαινῶ, ὅτι κακόν ἐξέφυγον κρανίον.

Προδότου δέ τινος κακῶς αὐτόν λέγοντος, ἔφη· Χαίρω ἐχθρός σου γενόμενος· σύ γάρ οὐ τούς ἐχθρούς, ἀλλά τούς φίλους κακῶς ποιεῖς.

Ἀρίστιππ.- Ἀρίστιππος ὑβριζόμενος ὑπό τινος, ἀνεχώρει· τοῦ δέ ἐπιδιώκοντος καί λέγοντος, Φεύγεις; Ναί, ἔφη· τοῦ μέν γάρ κακῶς λέγειν σύ τήν ἐξουσίαν ἔχεις, τοῦ δέ μή ἀκούειν, ἐγώ.

Πελοπίδ. - Πελοπίδας ἀνδρείου στρατιώτου δαβληθέντος αὐτῷ, ὡς βλασφημοῦντος αὐτόν· Ἐγώ τά μέν ἔργα, ἔφη, αὐτοῦ βλέπω, τῶν δέ λόγων οὐκ ἤκουσα.

Φιλήμον.

Ἥδιον οὐδέν οὐδέ μουσικώτερον
Ἐς' ἤ δύνασθαι λοιδορούμεον φέρειν.
Καί γάρ ὁ λοιδορῶν, ἄν ὁ λοιδορούμενος
Μή προσποιῆται, λοιδορεῖται ὁ λοιδορῶν.

Δημοσθ. - Δημοσθένης, λοιδορουμένου τινός αὐτόν· Οὐ συγκαταβαίνω, εἶπεν, εἰς ἀγῶνα ἐν ᾧ ὁ νικώμενος τοῦ νικῶντός ἐστι κρείττων.

Μενάνδρου.

Οὐδέν διαβολῆς ἐστιν ἐπιπονώτερον,
τήν ἐν ἑτέρῳ γάρ κειμένην ἁμαρτίαν,
Ἀεί μέμψιν ἰδίαν αὐτόν ἐπανάγκες λαβεῖν.
Ὅστις δέ διαβολαῖς πείθεται ταχύ,
Ἤτοι πονηρός αὐτός ἐστι τοῖς τρόποις,
Ἠ παντάπασι παιδαρίου γνώμην ἔχει.

Ῥηγίν.- Πολλοί γοῦν ἤδη μείζω κακά πεπόνθασι ὑπό τῶν διαβολῶν, ἤ τῶν πολεμίων· καί πολλοί ἤδη (788) μείζω ἠδίκηνται ὑπό τῆς τῶν ὤτων ἀσθενείας, ἤ ὑπό τῆς τῶν ἐχθρῶν ἐπιβουλῆς.

(≡15E_108≡> Κλεάνθ.

Κακουργότερον οὐδέν διαβολῆς ἐστί που.
Λάθρα γάρ ἀπατήσασα τόν πεπεισμένον.
Μῖσος ἀναπλάττει πρός τόν οὐδέν αἴτιον.

Σέξτ. - Ὁ ἐνδιαβάλλων φίλον, μή εὐδοκιμείτω, κἄν ἀληθῆ λέγη.

Χρυσίππ. - Εἰπόντος αὐτῷ τινος, Ὁ φίλος δε λάθρα λοιδορεῖ, ἔφη· Μή ἔλεγχε αὐτόν, ἐπεί φανερῶς αὐτό ἔχει [μέλλει] ποιεῖν.

Ὁ αὐτός ὑπό τινος πονηροῦ πολλά λοιδορηθείς, ἔφη· Κάλλιστα ἐποίησας, μηδέν σοι τῶν προσόντων παραλιπών.

Ὁ αὐτός, τινός λέγοντος ὅτι Σέ τινες λοιδοροῦσιν, ἔφη· Ἀλλ᾽ ἐγώ οὕτως διάξω, ὥστε ἀπιστεῖσθαι αὐτούς.

Λικιαν. - Τίς γάρ οὐκ ἄν ὁμολογήσειε, τήν μέν ἰσότητα ἐν ἅπασι, καί τό μηδέν πλέον, διακιοσύνης ἔργα εἶναι· τό δέ ἄνισόν τε καί πλεονεκτόν, ἀδικίας; Ὁ δέ τῇ διαβολῇ κατά τῶν ἀπάντων λάθρα χρώμενος, πῶς οὐ πλεονέκτης ἐστίν; ὅλον τόν ἀκροατήν σφετεριζόμενος, καί

προκαταλαμβάνων αὐτοῦ τά ὦτα, καί ἀποφράττων, καί τῷ δευτέρῳ λόγῳ παντελῶς ἄβατα κατασκευάζων αὐτά ὑπό τῆς διαβολῆς προπεπλησμένα.

**ΛΟΓΟΣ ΙΑ΄.**

## Περί κολακείας.

(≡15Ε_110≡> Λουκ. στ΄. - Οὐαί ὅταν καλῶς εἴπωσιν ὑμᾶς οἱ ἄνθρωποι.

Ἰουδ. - Οὗτοί εἰσι γογγυσταί, μεμψίμοιροι, κατά ἐπιθυμίας αὐτῶν πορευόμενοι, καί τό στόμα αὐτῶν λαλεῖ ὑπέρογκα, θαυμάζοντες πρόσωπα ὠφελείας χάριν.

Παροιμ. Κστ΄. - Λόγοι κερκώπων μαλακοί· οὗτοι δέ τύπτουσιν εἰς ταμεῖα σπλάχνων.

Κρεῖσσον ἀνδρός ἐλέγχοντος, ὑπέρ ἄλλου κολακεύοντος.

Ἡσαι. Γ΄. - Οἱ μακαρίζοντες ὑμᾶς, πλανῶσιν ὑμᾶς, καί τήν τρίβον τῶν ὁδῶν ταράττουσιν.

Βασιλείου. - Φύγωμεν κολακείας καί θωπείας, καί τῆς ἀρχιλόχου ἀλώπεκος τί κερδαλέον καί ποικίλον.

Οὐδέν γάρ χαλεπώτερον τοῖς εὖ φρονοῦσι, τοῦ πρός δόξαν ζῇν, καί τά τοῖς πολλοῖς δοκοῦντα περισκοπειν, καί μή τόν ὀρθόν λόγον ἡγεμόνα ποιεῖσθαι τοῦ βίου.

Θεολόγου. - Εἰ μέ ὄντα κακόν, ἄριστον ὑπελάμβανες, τί με ποιεῖν ἐχρῆν; εἶναι μᾶλλον κακόν, ἵνα πλέον ἀρέσκω σοι; οὐκ ἄν τοῦτο ἑναυτῷ συνεβούλευσα. Οὕτως οὐδέ εἰ κατορθοῦντά με πταίειν ὑπολαμβάνεις, τό κατορθοῦν διά σέ μεταθήσομαι. Οὐ ζῶ γάρ σοί μᾶλλον ἤ ἐμαυτῷ.

(=789=) Ἔστι γάρ ἀνδρός μεγαλόφρονος φίλων ἀποδέχεσθαι μᾶλλον ἐλευθερίαν, ἤ ἐχθρῶν κολακείαν.

Πολλῷ βέλτιον βραχέα λυπήσαντα μέγιστα ὠφελῆσαι, ἤ τό (≡15Ε_112≡> πρός ἡδονήν διώκοντα, ζημιῶσαι τῷ κεφαλαίῳ.

Χρυσοστ. - Ὅταν μεταβολή τις γένηται πρός τό χεῖρον, τότε τῶν κολάκων ἀφαιρεῖται τά προσωπεῖα. Τότε ὁ χορός ἐλέγχεται τῶν ὑποκριτῶν, καί ἡ σκῆψις τοῦ πράγματος. Ἀνοίγονται πάντων τά στόματα, Ὁ μιαρός, λέγοντες, ὁ πονηρός, ὁ παμπόνηρος. Οὐ χθές αὐτόν ἐκολάκευες; οὐ τάς χεῖρας αὐτοῦ κατεφίλεις; Προσωπεῖον ἦν ἐκεῖνα. Ἦλθεν ὁ καιρός, καί ἔῤῥιψα τό προσωπεῖον, καί ἀπεφηνάμην τῇ διανοίᾳ.

Κλήμεντος. - Νόσος φιλίας ἡ κολακεία· τάς τῶν ἀρχόντων εὐπραγίας μᾶλλον, ἤ τούς ἄρχοντας αὐτούς εἰώθασι θεραπεύειν οἱ πλεῖστοι.

Πλουτάρχ. - Ἔοικεν ἡ κολακεία γραπτῇ πανοπλίᾳ. Διό τέρψιν μέν ἔχει· χρείαν δέ οὐδεμίαν παρέχει.

Τά μέν ξύλα τό πῦρ αὐξάνοντα, ὑπ᾽ αὐτοῦ τοῦ πυρός καταναλίσκεται· ὁ δέ πλοῦτος τρέφων τούς κόλακας, ὑπ᾽ αὐτῶν τούτων διαφθείρεται.

Ὥσπερ οἱ κόρακες παρεδρεύοντες ἐξορύσσουσι τούς τῶν νεκρῶν ὀφθαλμούς· οὕτως οἱ κόλακες τοῖς ἐπαίνοις τούς λογισμούς διαφθείρουσι τῶν ἀνθρώπων

Λαγῷ μέν κύνα, φίλῳ δέ κόλακα φύσει πολέμιον ἡγητέον.

Οὔτε τῆς γαμετῆς τήν ἑταίραν, οὔτε τῆς φιλίας τήν κολακείαν δεῖ προτιμᾷν.

Χαίρειν χρή τοῖς ἐλέγχουσιν, οὐ τοῖς κολακεύουσιν. Οἱ μέν γάρ ἡμᾶς λυποῦντες, διεφείρουσιν· οἱ δέ χαριζόμενοι, ἐκλύουσι καί σκελίζουσιν.

Ἰσοκράτ. - Διόρα καί τούς τέχνῃ κολακεύοντας, καί τούς μετ᾽ εὐνοίας θεραπεύοντας, ἵνα μή πλεῖον οἱ πονηροί τῶν χρηστῶν ἔχωσιν.

Μίσει τούς κολακεύοντας ὥσπερ τούς ἐξαπατοῦντας· ἀφμότεροι γάρ πιστευθέντες, τούς πιστεύσαντας ἀδικοῦσι.

(≡15Ε_114≡> Κράτης. - Κράτης πρός νέον πλούσιον πολλούς κόλακας ἐπισυρόμενον, εἶπε, Νεανίσκε, ἐλεῶ σου τήν ἐρημίαν.

Ἐπικτήτου. - Οἱ μέν κόρακες, τῶν τετελευτηκότων τούς ὀφθαλμούς λυναίνονται, ὅτα οὐδέν αὐτῶν ἐστι χρεία· οἱ δέ κόλακες, τῶν ζώντων τάς ψυχάς διαφθείρουσι, καί ταύτης ὄμματα τυφλώττουσιν.

Πιθήκου ὀργήν, καί κόλακος ἀπειλήν, ἐν ἴσῳ θετέον.

Ἀποδέχου τούς τά χρηστά συμβουλεύειν ἐθέλοντας, ἀλλά μή τούς κολακεύειν ἑκάστοτε σπεύδοντας. Οἱ μέν γάρ τό συμφέρον ἐν ἀληθείᾳ ὁρῶσιν· οἱ δέ, πρός τά δοκοῦντα τοῖς κρατοῦσιν ἀφορῶσι· καί τῶν σωμάτων τάς σκιάς μιμούμενοι, τοῖς παρ᾽ αὐτῶν λεγομένοις συννεύουσιν.

(=792=) Δίωνος τοῦ Χρυσοστ. - Πασῶν γάρ, ὡς ἔπος εἰπεῖν, τῶν κακιῶν, ἐσχάτην ἄν τις εὕροι τήν κολακείαν. Πρῶτον μέν γάρ τό κάλλιστον καί δικαιότατον διαφθείρει τόν ἔπαινον, ὥστε μηκέτι δοκεῖν πιστόν μηδ᾽ ἀληθῶς γινόμενον· καί τό γε πάντων δεινότατον, τά τῆς ἀρετῆς ἔπαθλα τῇ κακίᾳ δίδωσιν· ὥστε πολύ χεῖρον δρῶσι τῶν διαφθειρόντων τό νόμισμα. Οἱ μέν γάρ ὕποπτον αὐτό ποιοῦσιν· οἱ δέ τήν ἀρετήν ἄπιστον.

Διογέν. - Ἐπί τῆς κολακείας, ὥσπερ ἐπί μνήματος, αὐτό μόνον τό ὄνομα τῆς φιλίας ἐπιγέγραπται.

Ὁ αὐτός ἐρωτηθείς, Τί τῶν θηρίων κάκιστα δάκνει; ἔφη· Τῶν μέν ἀγρίων, συκοφάντης· τῶν δέ ἡμέρων, κόλαξ.

Δημοσθ. - Δημοσθένης ἔφη, τόν κόλακα τοῦτο διαφέρειν τοῦ κόρακος, ὅτι ὁ μέν ζῶντας, ὁ δέ νεκρούς ἐσθίει.

Ἀντισθέν. -Ἀντισθένης φησίν· Αἱρετώτερον εἰς κόρακας ἐμπεσεῖν, ἤ εἰς κόλακας· οἱ μέν γάρ ἀποθανόντος τό σῶμα, οἱ δέ ζῶντος τήν ψυχήν λυμαίνονται.

Φαβωρίν. - Ὥσπερ ὁ Ἀκταίων ὑπό τῶν τρεφομένων ὑπ᾽ αὐτοῦ κυνῶν ἀπέθανεν, οὕτως οἱ κόλακες τούς τρέφοντας κατεσθίουσιν.

(≡15Ε_116≡> Ζήνωνος. - Ἔλεγχε σαυτόν, ὅστις εἶ, καί μή πρός χάριν.

Ἄκου· ἀφαιροῦ δέ κολάκων παῤῥησίαν.

Πυθαγόρ. - Χαῖρε τοῖς ἐλέγχουσί σε μᾶλλον, ἤ τοῖς κολακεύουσιν· ὡς δ᾽ ἐχθρῶν χείρονας ἐκτρέπου τούς κολακεύοντας.

Σωκράτης. - Ἡ τῶν κολάκων εὔνοια καθάπερ ἐκ τροπῆς, φεύγει τάς ἀτυχίας.

Φίλωνος. - Ἀποστρέφου τῶν κολάκων τούς ἀπατηλούς λόγους. Ἐξαμβλύνοντες γάρ τούς τῆς ψυχῆς λογισμούς, οὐ συγχωροῦσι [ἰδεῖν] τῶν πραγμάτων τήν ἀλήθειαν. Ἤ γάρ ἐπαινοῦσι τά ψόγου ἄξια, ἤ ψέγουσι πολλάκις τά ἐπαίνων κρείττονα.

Σωτιώνου ἐκ τοῦ περί ὀργῆς. - Οἱ δελφῖνες μέχρι τοῦ κλύδωνος συνδιανήχονται τοῖς κολυμβῶσι· πρός δέ τό ξηρόν οὐκ ἐξοκείλουσι· οὕτως οἱ κόλακες ἐν εὐδίᾳ περιμένουσι, καί τούς φίλους εἰς ἀποδημίαν προπέμποντες μέχρι τῆς λείας συμπαρακολουθοῦσιν· ἐπειδάν δέ εἰς τραχεῖαν ἔλθωσιν, ἀπίασιν.

Φωτίων. - Φωτίων εἰώθει λέγειν πρός Ἀντίπατρον· Οὐ δύνασαί μοι καί φίλῳ καί κόλακι χρήσασθαι.

ΛΟΓΟΣ ΙΒ΄.

## Περί πλούτου, καί πενίας, καί φιλαργυρίας.

(≡15E_118≡> Ματθ. ιθ΄. -Εὐκοπώτερόν ἐστι κάμηλον διά τρυπήματος ῥαφίδος διελθεῖν, ἤ πλούσιον εἰσελθεῖν εἰς τήν βασιλείαν τῶν οὐρανῶν.

Α΄ Τιμ. στ'. -Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε μή ὑψηλοφρονεῖν, μηδέ ἠλπικέναι ἐπί (793) πλούτου ἀδηλότητι, ἐλλ' ἐπί τῷ Θεῷ, τῷ παρέχοντι ἡμῖν πάντα πλουσίως εἰς ἀπόλαυσιν.

Ἰακώβ κ΄.-Πλοῦτος ἀδίκως συναγόμενος ἐξεμεθήσεται.

Παροιμ. ιθ΄. - Κρεῖσσον πτωχός δίκαιος, ἤ πλούσιος ψεύστης.

Ἐκκλη. ι΄. - Τῷ ἀργυρίῳ ὑπακούσεται τά σύμπαντα.

Σιράχ λα΄. - Ἀγρυπνία πλούτου ἐκτήσει σάρκας, καί ἡ μέριμνα αὐτοῦ ἀφιστᾷ ὕπνον.

Σιράχ λγ΄. - Πλούτου σφαλέντος πολλοί ἀντιλήπτορες · ἐλάλησεν ἀπόῤῥητα, καί ἐδικαίωσαν αὐτόν.

Πλούσιος ἐλάλησε, καί πάντες ἐσίγησαν, καί τόν λόγον αὐτοῦ ἀνύψωσαν ἕως τῶν νεφελῶν.

Βασιλ. - Πενία μετ᾽ ἀληθείας, πάσης ἀπολαύσεως τοῖς σωφρονοῦσι προτιμοτέρα.

Οὐ τό πένεσθαι ἐπονείδιστον, ἀλλά τό μή φέρειν εὐγνωμόνως τήν πενίαν.

Λογισμός γάρ φυλαργυρίᾳ προειλημμένος, τρυτάνη ἐστίν ἐπί τό βαρύ τοῦ κανόνος τήν ῥοπήν καταφέρουσα.

(≡15E_120≡> Θεολόγου.

Πένητος ἀνδρός οὐδέν ἀσφαλέστερον.

Πρός τόν Θεόν νένευκε, καί μόνον βλέπει.

Ὡς ἀπόλοιτο πλοῦτος, εἰ μή βοηθεῖ πένησιν·
Κρεῖσσον πενία, μή δικαίας κτήσεως,
Καί γάρ νόσος γε, τῆς κακῆς εὐεξίας.
Δεινόν πένεσθαι, χεῖρον δ' εὐπορεῖν κακῶς.

Χρυσόστ. Ὦ πηλίκον ἀξίωμα τῆς πενίας. Θεοῦ γίνεται προσωπεῖον. Κρύπτεται ἐν πενίᾳ Θεός· καί πένης μέν, ὁ τήν χεῖρα προτείνων· Θεός δέ, ὁ δεχόμενος.

Ὥσπερ γάρ ἐπί τῶν σωμάτων φλεγμονή, ἐκ δέ φλεγμονῆς τίκτεται πυρετός, εἶτα θάνατος ἐκεῖθεν πολλάκις· οὕτω καί ἀπό τῆς τῶν πραγμάτων καί ἀπό τῆς τοῦ πλούτου ὑπερβολῆς, ἀπόνοια γίνεται. Ὥσπερ γάρ ἐπί τῶν σωμάτων φλεγμονή, οὕτω καί ἐπί τῆς ψυχῆς ἀπόνοια. Εἶτα ἐξ ἀπονοίας ἐπιθυμία τῶν οὐ προσηκόντων ἐπακολουθεῖν εἴωθεν.

Γρηγ. Νύσσης. - Τό καλῶς ἔχειν ὀλίγα πολύ τιμιώτερον, τοῦ κακῶς ἔχειν πολλά. Οὐδείς ποτε, τοῦ κερδαίνειν γίνεται κόρος· ἀλλά τό ἀεί λαμβανόμενον, ὕλη καί ὑπέκκαυμα τῆς τοῦ πλείονος ἐπιθυμίας καθίσταται.

Βαρύ χρῆμα τό χρυσίον ἐστί· κοῦφον δέ καί ἀνωφερές πρᾶγμα ἡ ἀρετή. Εἰ οὖν χρή τῶν ἄνω προσβαίνειν, τῶν κατελθόντων [καθελκ.] πτωχεύσωμεν, ἵνα ἐν οὐρανοῖς ἄνω γινώμεθα.

Πλούτου κάλλος οὐκ ἐν βαλαντίοις, ἀλλ᾽ ἐν τῇ τῶν χρηζόντων ἐπικουρίᾳ.

(=796=) Φίλων. - Αἱ μέν χρημάτων καί κτημάτων ἐπιθυμίαι τούς χρόνους ἀναλίσκουσι· χρόνου δέ φείδεσθαι, καλόν.

Μείζονα καί σπουδαιοτέραν ἐπιμέλειαν ποιοῦ εἰς τούς δι᾽ ἀρετήν καί θεοσέβειαν πτωχεύσαντας, ἤ πενομένους· ἄλλως τε ὁμοίως καί εἰς τούς ἐκ νόσων καί συμπτωμάτων ἀποροῦντας, παρά τούς ἐκ κακοπραγμονίας ἤ ἀσωτίας πτωχεύσαντας.

(≡15E_122≡> Νείλου. - Μή βούλου πλουτεῖν φιλοπτωχείας ἕνεκα· ἀπό γάρ τῶν ὄντων τοῦ ἐλεεῖν ὁ Θεός νομοθετεῖ τό δίκαιον.

Πλουτάρχ. - Ἐν πολέμῳ μέν πρός ἀσφάλειαν σίδηρος χρυσοῦ κρείσσων· ἐν δέ τῷ ζῆν, ὁ λόγος τοῦ πλούτου.

Οὔτε ἵππῳ χωρίς χαλινοῦ, οὔτε πλούτῳ χωρίς λογισμοῦ, δυνατόν ἀσφαλῶς χρήσασθαι.

Οὔτε συμπόσιον ἄνευ ὁμιλίας, οὔτε πλοῦτος χωρίς ἀρετῆς ἡδονήν ἔχει.

Ἔοικεν ὁ τῶν φιλαργύρων βίος νεκροῦ δείπνῳ. Πάντα γάρ ἔχων, τόν εὐφρανθησόμενον οὐκ ἔχει. Οὔτε παρά νεκροῦ ὁμιλίαν, οὔτε παρά φιλαργύρου δεῖ χάριν ἐπιζητεῖν. Τοῦ μέλιτος μέλιτται τάχιον ἔρχονται ἐπ᾽ αἴσθησιν· τοῦ κέρδους δέ, οἱ φιλάργυροι.

Σφαγή ἐστι τοῦ φιλαργύρου ἡ τοῦ χρήματος ἡ πρός τό κέρδος ἐπιθυμία· ὅθεν ἡ τοῦ χρήματος ἀφαίρεσις, ὥσπερ αἵματος, ἐπιφέρει τόν θάνατον αὐτῷ.

Ἑτοιμάζονταί τινες διά τοῦ βίου τά πρός τόν βίον, ὡς βιωσόμενοι μετά τόν βίον.

Τούς πλουσίους δέ καί ἀπλήστους ὑδρωπιῶσιν ἐοικέναι ἔλεγεν· οἱ μέν γάρ πεπλησμένοι ὑδάτων διψῶσιν, οἱ δέ χρημάτων.

Οὔτε ἵππος εὐγενής κρίνοιτ᾽ ἄν πολυτελῆς σκευήν ἔχων· ἀλλ᾽ ὁ τῇ φύσει λαμπρός· οὔτε ἀνήρ σπουδαῖος ὁ πολύτιμον οὐσίαν κεκτημένος, ἀλλ᾽ ὁ τήν ψυχήν γενναῖος.

Καταφρόνει τῶν περί τόν πλοῦτον σπουδαζόντων, χρῆσθαι δέ τοῖς ὑπάρχουσι μή δυναμένων. Παραπλήσιον γάρ οἱ τοιοῦτοι πάχουσιν, ὥσπερ ἄν εἴ τις ἵππον κτήσαιτο καλόν, κακῶς ἱππεύειν ἐπιστάμενος.

Μεγαλόφρονας νόμιζε, μή τούς μείζονα περιβαλλομένους, (≡15E_124≡> ὧν οἷοί τέ εἰσι κατασχεῖν, ἀλλά τούς μετρίων μέν ἐφιεμένους, ἐργάζεσθαι δέ δυναμένους, οἷς ἄν ἐπιχειρῶσι.

Ἀριστοτέλ.- Ἡ πενία πολλῶν ἐστιν ἐνδεής· ἡ δέ ἀπληστία πάντων.

Μηδέποτε μακαρίσεις ἄνθρωπον ἐπί πλούτῳ καί δόξῃ· πάντα γάρ τά τοιαῦτα τῶν ἀγαθῶν ἐλάττονι πίστει δέδεται.

Οὐχ ὁ πλουτῶν, ἀλλ᾽ ὁ μή χρήζων πλούτου μακάριος.

(=797=) Μέγιστόν ἐστι πλούτου, τό γινώσκειν ὅτι περιττός, ἐστιν.

Ἄν μή πολλῶν ἐπιθυμεῖς, τά ὀλίγα πολλά δόξει. Μικρά γάρ ὄρεξις πενίαν ἰσοσθενῆ πλούτου ποιήσει.

Ὁ κατά φύσιν πλοῦτος, ἄρτῳ καί ὕδατι καί τῇ τυχούσῃ τοῦ σώματος σκέπῃ, συμπεπλήρωται. Ὁ δέ περιττός, κατά ψυχήν ἀπέραντος, ἔχειν καί τήν τῆς ἐπιθυμίας βάσανον.

Ὁ αὐτός ἐρωτηθείς, πῶς ἄν τις γένηται πλούσιος· Ἐάν τῶν ἐπιθυμιῶν ἔσται πένης, φησίν.

Ὅσα μέν ἐπί τῇ φύσει, πάντες ἐσμέν πλούσιοι· ὅσα δ᾽ ἐφ᾽ ἡμῖν, πάντες ἐσμέν πένητες.

Ὁ τῷ κατά φύσιν ἀρκούμενος πλούτῳ, τοῦ πολλά κεκτημένου, πλείονα δέ ἐπιθυμοῦντος, πολύ ἐστι πλουσιώτερος. Τῷ μέν γάρ οὐδέν ἐλλείπει· τῷ δέ, καί ὧν κέκτηται πολλῷ πλείονα.

Ἡ τέκνοις ἄγαν χρημάτων συναγωγή, πρόφασίς ἐστι φιλαργυρίας, τρόπον ἴδιον ἐλέγχουσα.

Τά μέγιστα τῶν κακῶν οἱ πενητες ἐκπεφεύγασι· ἐπιβουλήν, φθόνον καί μῖσος· οἷς οἱ πλούσιοι καθ᾽ ἡμέραν συνοικοῦσιν.

Διογένης. - Διογένης ὁ Κυνικός φιλόσοφος, ἐρωτηθείς ὑπό τινος, διά τί τό χρυσίον χλωρόν ἐστιν, εἶπεν· Ὅτι πολλούς ἐπιβούλους ἔχει.

Ὁ αὐτός ἰδών τούς Ἀναξιμένους οἰκέτας πολλά σκεύη περιφέροντας, ἤρετο· Τίνος ταῦτα; Τῶν δέ εἰπόντων, Ἀναξιμένους, οὐκ αἰδεῖται, φησί, ταῦτα ἔχων ἅπαντα, αὐτός ἑαυτόν μή ἔχων;

(≡15E_126≡> Σωκράτης. - Ὁ μέν οἶνος συμμεταβάλλεται τοῖς ἀγγείοις· ὁ δέ πλοῦτος, τοῖς τῶν κεκτημένων τρόποις.

Ἵδρως μέν ἐκ τῶν γυμνασίων εὐσχημονέστερον· πλοῦτος δέ, ἐκ τῶν ἰδίων πόνων.

Τά τῶν πλουσίων καί ἀσώτων χρήματα, ταῖς ἐπί τῶν κρημνῶν συκέαις εἴκαζεν, ἀφ᾽ ὧν ἄνθρωπον μέν μή λαμβάνειν, κόρακας δέ καί ἰκτίνους, ὥσπερ παρά τούτων ἑταίρας καί κόλακας.

Ὁ αὐτός ἐρωτηθείς, τίνες οἱ φιλοχρήματοι, ἔφη· Οἱ τά αἰσχρά κέρδη θηρώμενοι, καί τούς ἀναγκαίους τῶν φίλων ὑπερορῶντες.

Ὁ τῶν φιλαργύρων πλοῦτος, ὥσπερ ὁ ἥλιος καταδύς εἰς τήν γῆν, οὐδένα τῶν ζώντων εὐφραίνει.

Εὐριπίδου ἐν Δαναῇ.

Ὦ χρυσέ δεξίωμα κάλλιστον βροτοῖς,
Ὡς οὐδέ μήτηρ ἡδονάς τοίας ἔχει,
Οὐ παῖδες ἀνθρώποισιν, οὐ φίλος πατήρ.
Εἰ δ' ἡ Κύπρις τοσοῦτον ὀφθαλμοῖς ὁρᾷ,
Οὐ θαῦμ᾽ ἔρωτας μυρίους αὐτήν τρέφειν.

Μοσχίων. - Ὥσπερ οὐ τῷ ἵππῳ κόσμος, οὐδέ τοῖς ὄρνεσι καλιά ὑψοῦσθαι καί γαυριᾷν δίδωσιν· ἀλλά τῷ μέν τοῦ ποδός ἡ ὠκύτης, τοῖς δέ τῶν πτερῶν· οὕτως οὐδ᾽ ἀνθρώπῳ καλλωπισμός καί τρυφή, ἀλλά χρηστότης καί εὐποιία.

(=800=) Ἐν Πέρσαις μέν γεννηθείς, οὐκ ἔσπευδες οἰκεῖν τήν Ἑλλάδα, ἀλλ᾽ αὐτόθι διάγων εὐτυχεῖν. Ἐν πενίᾳ δέ γεννηθείς, τί σπεύδεις πλουτεῖν, ἀλλ᾽ οὐκ αὐτόθι μένων εὐτυχεῖν;

Τήν πενίαν ὁ σώφρων καρτερίᾳ καί γενναιότητι τιμῶν, πλούτου τιμιωτέραν ἀποφαίνει.

Προίξ πολλή τέκνα βελτίονα οὐ ποιεῖ.

Κλειτάρχ. - Ἐγράτεια κρηπίς εὐσεβείας· ὄρεξις κτήσεως, ἀρχή πλεονεξίας. Ἐκ γάρ φιλαργυρίας ἀδικία φύεται.

(≡15E_128≡> Κάτωνος. - Δόξα καί πλοῦτος ἄνευ φρονήσεως, οὐκ ἀσφαλῆ κτήματα.

Ἀπολλωνίου. - Οὐ τό πένεσθαι κατά φύσιν αἰσχρόν, ἀλλά τό δι᾽ αἰσχράν αἰτίαν πένεσθαι, ὄνειδος.

Εὐσεβίου. - Οἱ μάταιοι τῶν ἀνθρώπων, τούς μέν μεγάλα χρήματα ἔχοντας καί φαύλους ὄντας, τιμῶσί τε καί τεθαυμάκασι· τῶν δέ σπουδαίων, ἐπειδάν ἀχρηματείαν καταγνῶσιν, ὑπερφρονέουσιν.

Μενάνδρου.

Ψυχήν ἔχειν δεῖ πλουσίαν· τά δέ χρήματα
Ταῦτ᾽ ἔστιν ὄψις παραπέτασμα βίου.
Μακάριος ὅστις οὐσίαν καί νοῦν ἔχει.
Χρῆται γάρ οὗτος εἰς ἅ δεῖ ταῦτα καλῶς.
Ὅστις ὑπέχει χρυσίῳ τήν χεῖρα,
Κἄν μή φησί, πονηρά βουλεύεται.

Οὐ πώποτε ἐζήλωσα πλουτοῦντα σφόδρα
Ἄνθρωπον ἀπολαύοντα μηδέν ὧν ἔχει.
Λέγεις, ἅ δέ λέγεις, ἕνεκα τοῦ λαβεῖν λέγεις.

Κράτωνος.
Οὐ ἔστι πενίας μεῖζον οὐδέν ἐν βίῳ
Σύμπτωμα· καί γάρ ἄν φύσει σπουδαῖος ᾖς,
Καταγέλαστος ἔσῃ.
Καλῶς πένεσθαι μᾶλλον ἤ πλουτεῖν κακῶς·
Τό μέν γάρ ἔλεον, τό δ᾽ ἐπιτίμησιν φέρει.

Ἐκ τῶν Φαυωρίνου. - Βοιωτός ἐντυχών θησαυρῷ μετά ἑβδομήκοντα ἔτη, ἐπάρας τό σκέλος ἀπεματάϊσε καί παρῆλθεν, ὡς οὐκέτι ὄντα πρός αὐτόν.

Ὥσπερ τόν αὐτόν οἶνον πίνοντες, οἱ μέν παροινοῦσιν, οἱ δέ πραΰνονται· οὕτω καί τόν πλοῦτον.

Βίωνος. - Βίων καταγελάστους ἔλεγεν τούς σπουδάζοντας περί τόν πλοῦτον, ὅν τύχη μέν παρέχει, ἀνελευθερία δέ φυλάττει, χρηστότης δέ ἀφαιρεῖται.

(≡15E_130≡> Θεόγνιδος.
Οὐ δέ μάτην, ὦ Πλοῦτε, θεοί τιμῶσι μάλιστα,
Ἠ γάρ ῥηιδίως τήν κακότητα φέρεις.
Οὐκ ἔραμαι πλουτεῖν, οὔτ᾽ εὔχομαι, ἀλλά μοι εἴη
Ζῆν ἀπό τῶν ὀλίγων οὐδέν ἔχοντι κακόν.

Λουκιανοῦ.
Γῆς ἐπέβην γυμνός, γυμνός δ᾽ ἐπί γαῖαν ἄπειμι,
Καί τί μάτην μοχθῶ, γυμνόν ὁρῶν τό τέλος;

Σιμωνίδου. - Σιμωνίδης ἐρωτηθείς, πότερο αἱρετώτερον πλοῦτος, ἤ σοφία· οὐκ οἶδα, ἔφη· ὁρῶ μέντοιγε τούς σοφούς ἐπί τάς τῶν πλουσίων θύρας φοιτῶντας.

Ἀριστείδου. - Ἀριστείδης ὁ δίκαιος, ὀνειδιζόμενος ἐπί πενίᾳ ὑπό τινος πλουσίου, εἶπεν· Ἐμοί μέν (=801=) ἡ πενία οὐδέν ἱστορήσει κακόν· σοί δέ ὁ πλοῦτος ταραχάς οὐκ ὀλίγας.

Ἱέρωνος. - Ὀνειδιζόμενος ὅτι πολλούς ῥητορεύειν διδάξας, ἐπένετο, εἶπεν· Οὔτε γάρ ἐδίδαξα φιλαργυρεῖν.

Μουσωνίου. - Τῶν μέν Κροίσου καί Κύρου θησαυρῶν πενίαν ἐσχάτην καταψηφιούμεθα· ἕνα δέ καί μόνον πιστεύομεν πλούσιον, σοφόν, τόν δυνάμενον κτήσασθαι τό ἀνενδεές πανταχοῦ.

Ξενοφῶντ. φιλοσόφ.- Τήν πενίαν ἔλεγεν αὐτοδίδακτον φιλοσοφίαν εἶναι· ἅ γάρ ἐκείνη τοῖς λόγοις πείθει, αὕτη τοῖς ἔργοις ἀναγκάζει.

Πολλῶν κακῶν ἐπικάλυμμά ἐστιν ὁ πλοῦτος.

Ὁ αὐτός, τόν πλούσιον καί ἀπαίδευτον ἔφησε, ῥύπον εἶναι περιηργυρωμένον..

Φιλιστίων. - Κἄν μυρίων πηχῶν γῆς κύριος ὑπάρχεις, θανών γενήσῃ τριῶν ἤ τεσσάρων.

Δημώνακτ. - Εἰσί τινες, οἱ τόν μέν παρόντα βίον οὐ ζῶσιν, ἀλλά παρασκευάζοντες πολλῇ σπουδῇ ὡς ἕτερον βίον βιωσόμενοι, οὐ τόν παρόντα.

(≡15Ε_132≡> Ἐκ τῶν Ἀριστίππου γνωμῶν. - Οὐχ ὥσπερ ὑπόδημα τό μεῖζον ἄχρηστον, καί ἡ πλείων κτῆσις. Τοῦ μέν γάρ ἐν τῇ χρήσει τό περιττόν ἐμποδίζει· τῇ δέ, καί ὅλῃ χρῆσθαι κατά καιρόν ἔξεστι, καί μέρει.

Δημοσθ. - Δημοσθένης ὁ ῥήτωρ, θεσάμενός τινα ἐκφερόμενον φιλάργυρον, ἔφη· Οὗτος βίον ἀβίωτον βιώσας, ἑτέροις βίον κατέλιπεν.

Ζημίαν αἱροῦ μᾶλλον, ἤ κέρδος αἰσχρόν· τό μέν γάρ ἅπαξ σέ λυπήσει· τό δέ, διαπαντός.

Δημοκρίτ. ἄλ. Θεοκ. - Τούς πολλούς τῶν πλουσίων ἔλεγεν ἐπιτρόπους εἶναι, ἀλλά μή δεσπότας τῶν χρημάτων.

Πλάτωνος. - Ὅστις σῶμα θεραπεύει τό ἑαυτοῦ, οὐχ ἑαυτόν θεραπεύει· ὅστις δέ χρήματα, οὐθ᾽ ἑαυτόν, οὔτε τά ἑαυτοῦ, ἀλλ᾽ ἔστι ποῤῥωτέρω τῶν ἑαυτοῦ.

Διφίλου.

Εἰ μή τό λαβεῖν ἦν οὐδ᾽ εἷς πονηρός ἦν.

Φιλαργυρία τοῦτ᾽ ἔστιν, ὅταν ἀφείς σκοπεῖν.

Τά δίκαια, τοῦ κέρδους διαπαντός δοῦλος ᾖς.

Ἀνακρέοντ. - Ἀνακρέων δωρεάν παρά Πολυκράτους λαβών πέντε τάλαντα, ὡς ἐφρόντισεν ἐπ᾽ αὐτοῖς δυοῖν νυκτοῖν, ἀπέδωκεν αὐτά, εἰπών, οὐ τιμᾶσθαι αὐτά τῆς ἐπ᾽ αὐτοῖς φροντίδος.

Ἰσοκράτ. - Τίμα τήν ὑπάρχουσαν οὐσίαν δυοῖν ἕνεκα, τοῦ τε ζημίαν μεγάλην ῥᾳδίως ἐκτῖσαι, καί τῷ φίλῳ σπουδαίῳ δυστυχοῦντι βοηθῆσαι· πρός δέ (=804=) τόν ἄδηλον βίον μηδέν ὑπερβαλλόντως, ἀλλά μετρίως αὐτήν ἀγάπα.

Στέργε μέν τά παρόντα· ζήτει δέ τά μέλλοντα.

ΛΟΓΟΣ ΙΓ΄.

## Περί αὐταρκείας.

(≡15Ε_134≡> Λουκ. ιβ΄. - Εἶπεν ὁ Κύριος Μή μεριμνήσητε τῇ ψυχῇ ὑμῶν τί φάγητε, μηδέ τῷ σώματι ὑμῶν τί ἐνδύσησθε.

Φιλιππησ. δ΄. - Ἐγώ ἔμαθον, ἐν οἷς εἰμί, αὐτάρκης εἶναι. Οἶδα καί ταπεινοῦσθαι, οἶδα καί περισσεύειν· ἐν παντί καί ἐν πᾶσι μεμύημαι· καί χορτάζεσθαι, καί πεινᾷν· καί περισσεύειν, καί ὑστερεῖσθαι. Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ.

Παροιμ. λ΄. - Πλοῦτον καί πενίαν μή μοι δός, Κύριε· σύνταξον δέ μοι τά δέοντα καί τά αὐτάρκη, ἵνα μή πλησθείς ψευδής γένωμαι, καί εἴπω· Τίς με ὁρᾷ, ἤ πενηθείς κλέψω καί ὁμόσω τό ὄνομα τοῦ Θεοῦ.

Σιράχ μ΄. - Ζωή αὐταρκείας ἐργάτου γλυκανθήσεται.

Σιράχ λ΄. - Ὕπνος ὑγείας ἐπί ἐντέρων μετρίων.

Βασιλείου. - Ἡ οἰκονομοῦσα τό ζῶον δύναμις, αὐταρκείαν μέν καί λιτότητα ῥᾳδίως κατεργάσατο καί ᾠκείωσε τῷ τρεφομένῳ· πολυτέλειαν δέ καί ποικιλίαν βρωμάτων παραλαβοῦσα, εἶτα ἀντισχεῖν πρός τό πέρας οὐκ ἐπαρκέσασα, τά ποικίλα γένη τῶν νοσημάτων πεποίηκεν.

Θεολόγου. - Τό καλῶς ἔχειν ὀλίγα, πολύ τιμιώτερον τοῦ κακῶς ἔχειν πολλά.

Χρυσοστ. - Οὐ πλούσιός ἐστιν ἐκεῖνος, ὁ πολλά κεκτημένος, ἀλλ᾽ ὁ μή πολλῶν δεόμενος.

Πρός χρείαν, ἀδελφοί, οὐ πρός ἡδονήν ἡ ζωή συμμετρεῖται. Τό οὖν περιττόν τῆς φύσεως ἀποθέμενοι, τό ἀναγκαῖον μόνον ἀσπασώμεθα.

(≡15Ε_136≡> Νείλου. - Καλόν τοῖς ὅροις τῆς χρείας ἐμμένειν, καί φιλονεικεῖν πάσῃ δυνάμει τούτους μή ὑπερβαίνειν. Ἐάν γάρ ὀλίγον παρενεχθῇ τις ἀπό τῆς ἐπιθυμίας ἐπί τά ἡδέα τοῦ βίου, οὐδείς λοιπόν ἵστησι τήν ἐπί τά πρόσω φοράν.

Μέτρον κτήσεώς ἐστιν ἡ χρεία τοῦ σώματος· τό δέ ταύτην ὑπερβαίνειν ἀκοσμία λοιπόν, καί οὐκέτι χρεία ἐστίν. Ὡς γάρ ὁ συμμεμετρημένος, τῷ σώματι χιτών, καί χρεία ἐστί καί κόσμος· ὁ δέ πάντοθεν περιῤῥέων καί τοῖς ποσίν ἐμπλεκόμενος, καί τῇ γῇ μετά τοῦ ἀπρεποῦς ἐπισυρόμενος, ἐμπόδιον πρός πᾶσαν ἐργασίαν γίνεται· οὕτως ἡ ὑπερβαίνουσα τήν τοῦ σώματος χρείαν χρῆσις, καί πρός τήν ἀρετήν ἐστιν ἐμπόδιον, καί πολλήν ἔχει κατάγνωσιν παρά (805) τοῖς τήν φύσιν τῶν πραγμάτων ἐρευνᾷν δυναμένοις.

Κλήμεντ. - Ὀλιγοδεΐας μέν ἐρασταί, πολυτέλειαν δέ, ὡς ψυχῆς καί σώματος νόσον ἐκτρεπόμενοι.

Ἡ τῶν ἀναγκαίων κτῆσις καί χρῆσις, οὐ τήν ποιότητα βλαβεράν ἔχει, ἀλλά τήν παρά τό μέτρον ποσότητα.

Φίλωνος. - Ὁ σπουδαῖος καί ὀλιγοδεής, ἀθανάτου καί θνητῆς φύσεως μεθόριον· τό μέν ἐπιδεές ἔχων διά τό σῶμα θνητόν· τό δέ μή πολυδεές, διά ψυχήν ἐφιεμένην ἀθανασίας.

Δημοκρ. - Αὐταρκίη τροφῆς, μικρά νύξ οὐδέποτε γίνεται.

Κλειτάρχ. - Ὀφείλομεν ἑαυτούς ἐθίζειν ἀπό ὀλίγων ζῆν, ἵνα μηδέν αἰσχρόν ἕνεκεν χρημάτων μάθωμεν.

Σωκράτ. - Σωκράτης ἐρωτηθείς ὑπό τινος, Τίς σοι πλουσιώτερος εἶναι δοκεῖ, εἶπεν· Ὁ ἐλαχίστοις ἀρκούμενος· αὐτάρκεια γάρ ἐστι φύσεως πλοῦτος.

Ὥσπερ εἰς ὁδόν τόν βίον, οὐ τά πολλοῦ ἄξια συντίθει ἐφόδια, ἀλλά ἀναγκαιότερα.

(≡15E_138≡> Βέλτιόν ἐστιν ἐν μιᾷ περιουσίᾳ συστελλόμενον εὐθυμεῖν, ἤ μεγάλης τυγχάνοντα δυστυχεῖν.

Ἀλέξανδρ. - Εἰπόντος αὐτῷ τινος τῶν δοκούντων εὐνοεῖν, ὅτι Δύνανται αἱ πόλεις σου πλεῖον παρέχειν ἐξόδους, ἔφη· κηπουρόν μισῶ τόν ἐκ ῥιζῶν ἐκτέμνοντα τά λάχανα.

Δημοκρίτ. - Τράπεζαν πολυτελέα μέν τύχη παρατίθησιν, αὐταρκέα δέ σωφροσύνη.

Ἐκ τῶν Ἐπικτήτου καί Ἰσοκράτ. - Αὐτάκρεια, καθάπερ ὁδός βραχεῖα καί ἐπιτερπής, χάριν μέν ἔχει μεγάλην πόνον δέ μικρόν.

Ὀχύρωσον σαὐτόν τῇ αὐταρκείᾳ· τοῦτο γάρ δισάλωτόν ἐστιν χωρίον.

Σωκράτ. - Ξανθίππης Σωκράτει τῷ ἀνδρί ἐπιτιμώσης, διότι λιτῶς παρεσκευάζετο ὑποδέξασθαι φίλους, εἶπεν· Εἰ μέν ἡμέτεροί εἰσιν, οὐδέν ἐκείνοις μελήσει· εἰ δέ ἀλλότριοι, ἡμῖν περί αὐτῶν οὐδέν μελήσει.

**ΛΟΓΟΣ ΙΔ΄.**

## Περί προσευχῆς.

(≡15E_140≡> Ματθ. στ΄. - Προσευχόμενοι μή βαττολογήσητε, (=808=) ὥσπερ οἱ ἐθνικοί· δοκοῦσι γάρ, ὅτι ἐν τῇ πολυλογία αὐτῶν εἰσακουσθήσονται. Μή οὖν ὁμοιωθῆτε αὐτοῖς· οἶδε γάρ ὁ Πατήρ ὑμῶν ὧν χρείαν ἔχετε, πρό τοῦ ὑμᾶς αἰτῆσαι αὐτόν.

Ἰακ. ε΄. - Κακοπαθεῖς τις ἐν ὑμῖν; προσευχέσθω. Εὐθυμεῖς τις; ψαλλέτω. Ἀσθενεῖ τις ἐν ὑμῖν; προσκαλεσάσθω τούς πρεσβυτέρους τῆς Ἐκκλησίας, καί προσευξάσθωσαν ἐπ᾽ αὐτόν, ἀλείψαντες αὐτόν ἐλαίῳ ἐν τῷ ὀνόματι Κυρίου· καί ἡ εὐχή τῆς πίστεως σώσει τόν κάμνοντα, καί ἐγερεῖ αὐτόν ὁ Κύριος· κἄν ἁμαρτίας ᾖ πεποιηκώς, ἀφεθήσεται αὐτῷ.

Σολομ. - Θυσίαι ἀσεβῶν βδέλυγμα Κυρίῳ· προσευχαί δέ κατευθυνόντων, δεκταί παρ᾽ αὐτῷ.

Σιράχ ζ΄. - Μή ὀλιγοψυχήσῃς ἐν τῇ προσευχῇ σου.

Σιράχ ιη΄. - Μή ἐμποδίσῃς τοῦ ἀποδοῦναι εὐχήν εὐκαίρως.

Βασιλείου. - Ἡ θεία ἀκοή, οὐ φωνῆς δεῖται πρός αἴσθησιν. Οἶδε γάρ καί ἐν τῷ κινήματι τῆς καρδίας γνωρίσαι τά ἐπιζητούμενα. Ἤ οὐκ ἀκούεις ὅτι Μωϋσῆς μηδέν φθεγγόμενος, τοῖς ἀλαλήτοις ἑαυτοῦ στεναγμοῖς ἐντυγχάνων τῷ Κυρίῳ, ἠκούετο παρά τοῦ Κυρίου, λέγοντος· Τί βοᾷς πρός με;

Ἔργων γάρ δικαίων παρουσία, μεγαλοφωνία ἐστί παρά Θεῷ.

(≡15E_142≡> Θεολόγου. - Μή μικρολογίαν καταγνωσθῶμεν, ἐν τῷ μικρά αἰτεῖν ἡμᾶς καί τοῦ διδόντος ἀνάξια.

Χρυσοστ. - Μέγα ἀγαθόν εὐχή, ἐάν μετά διανοίας εὐχαρίστου γένηται· ἐάν παιδεύσωμεν ἑαυτοῦ μή μόνον λαμβάνοντες, ἀλλά καί ἀποτυγχάνοντες, εὐχαριστεῖν τῷ Θεῷ. Καί γάρ ποτέ μέν δίδωσι, ἀμφότερα χρησίμως. Ὥστε κἄν λάβῃς, κἄν μή λάβῃς, ἔλαβες ἐν τῷ μή

ἀπολαβεῖν. Κἄν ἐπιτύχῃς, κἄν μή ἐπιτύχῃς, ἔτυχες ἐν τῷ ἀπολαβεῖν. Κἄν ἐπιτύχῃς, κἄν μή ἐπιτύχῃς, ἔτυχες ἐν τῷ μή ἐπιτυχεῖν. Ἔστι γάρ ὅτι τό μή λαβεῖν λυσιτελέστερον. Εἰ γάρ μή συμφέρον ἡμῖν ἦν πολλάκις τό μή λαβεῖν, πάντως ἔδωκεν ἄν. Τό δέ συμφερόντως ἀποτυχεῖν, ἐπιτυχεῖν ἐστιν.

Ὅταν ἐκ καθαρῶν χειλέων ἐξέρχηται δέησις, (=809=) καί ἐκ καρδίας ἀνυποκρίτου, οἶδε φθάσαι τό ἀκολάκευτον οὖς τοῦ Δεσπότου.

Ὅταν δι᾽ εὐχῆς αἰτησώμεθά τι τόν Δεσπότην, μή ταχέως ἐξατονήσωμεν· ἀλλά τό συνεχές τῆς ἀποτυχίας, τῇ συνεχείᾳ τῆς αἰτήσεως ἐκνικήσωμεν.

Ἐν ταῖς ἀναβολαῖς καί ἐν ταῖς ὑπεθέσεσι τῶν δωρεῶν τοῦ Θεοῦ, μή προκάμνωμεν, μηδέ προαναπίπτωμεν. Πολλάκις γάρ ὁ Δεσπότης τήν δοκοῦσαν ἀναβολήν, εἰς τήν τῆς πίστεως γυμνασίαν παρέλκει.

Καλόν πάντοτε διά προσευχῆς ὁμιλεῖν τῷ Θεῷ. Εἰ γάρ συντυχία ἀνδρός ἀγαθοῦ βελτιοῖ τόν ἐντυγχάνοντα, πόσῳ μᾶλλον τό καί ἐν ἡμέρᾳ καί ἐν νυκτί καθομιλεῖν τῷ Θεῷ ;

Πολλάκις ὁ Θεός ἀναβάλλεται τήν αἴτησιν, οὐ βουλόμενος ἡμᾶς παρελκῦσαι, ἀλλά τῇ μελλήσει τῆς δόσεως τήν διηνεκῆ προσεδρείαν ἡμῖν σοφιζόμενος. Οὕτω γάρ καί φιλόστοργοι πατέρες ποιοῦσι, τά ῥάθυμα τῶν παίδων, καί πρός τά παιδικά παίγνια τρέχοντα, πολλάκις ὑποσχέσει δόσεως καί δώρου μεγίστου κατέχουσι παρ' ἑαυτοῖς.

Ἀνθρώπων μέν γάρ δεόμενοι, καί δαπάνης χρημάτων δεόμεθα καί κολακείας δουλοπρεποῦς, καί πολλῆς περιόδου καί (≡15Ε_144≡> πραγματείας χρεία. Οὐ γάρ ἐξ εὐθείας αὐτοῖς τοῖς κυρίοις δοῦναι τήν χάριν ἔνι καί διαλεχθῆναι πολλάκις, ἀλλ᾽ ἀνάγκη πρότερον διακόνους καί οἰκονόμους αὐτῶν καί ἐπιτρόπους, καί χρήμασι καί ῥήμασι καί παντί θεραπεῦσαι τρόπῳ, καί τότε δι᾽ ἐκείνων τήν αἴτησιν λαβεῖν. Ἐπί δέ τοῦ Θεοῦ οὐκ ἔστιν οὕτως. Οὐ γάρ δεῖται μεσιτῶν ἐπί τῶν ἀξιούντων· οὐδ᾽οὕτως δι᾽ ἑτέρων παρακαλούμενος, ὡς δι' ἡμῶν αὐτῶν δεομένων ἐπινεύει τῇ χάριτι.

Εὔηχός ἐστιν ἐκείνη ἡ φωνή, καί μέχρι τῆς θείας ἀναβαίνουσα ἀκοῆς· οὐχ ἡ μετά τινος διατάσεως γινομένη κραυγή· ἀλλ᾽ ἡ ἀπό καθαρᾶς συνειδήσεως ἀναπτομένη ἐνθύμησις.

Γρηγ. Νύσσης. - Ὁ ἐν καιρῷ προσευχῆς ἡ πρός τά λυσιτελοῦντα τῇ ψυχῇ τεταμένος, ἀλλά πρός τάς ἐμπαθεῖς τῆς διανοίας κινήσεις, συνδιατίθεσθαι τόν Θεόν ἀξιῶν, λῆρός τίς ἐστιν, ὡς ἀληθῶς, καί βαττολόγος καί φλήναφος καί φλύαρος, καί εἴ τι ἄλλο τῆς τοιαύτης σημασίας ἐστίν.

Εὐσεβίου. - Ὑπέρ τῆς κοινῆς χρή εὔχεσθαι πρότερον σωτηρίας, εἶθ᾽ οὕτως ὑπέρ αὐτῶν.

Νείλου. - Ὥσπερ τά στρουθία διά τῆς τῶν πτερῶν κινήσεως μετάρσια γίνεται, οὕτω καί ὁ θεοσεβής ἄνθρωπος ἀπό τῶν ἐπιγείων πρός τά οὐράνια διά προσευχῶν μετατίθησιν ἑαυτόν.

Ἐάν κακῶς καί ἀσυμφόρως αἰτεῖς, καθάπερ (812) ὁ πυρέττων ἄνθρωπος παρακαλεῖ παρασχεῖν αὐτῷ οἶνον, προβλέπων ὁ Θεός τά μέλλοντα οὐ ποιεῖ τό θέλημά σου, οὐδέ παρέχειν τήν ἀλόγιστον δέησιν.

Μή πλοῦτον ἐν δεήσει ζητήσης, μή ὑγείαν, ἤ τῶν ἐχθρῶν ἄμυναν· μή δόξα ἀνθρωπινην· ἀλλά μόνον τά συντελοῦντα πρός σωτηρίαν ψυχῆς.

Ὥσπερ τό ἀναπνεῖν οὐδέποτε ἄκαιρον, οὕτως οὔτε τό αἰτεῖσθαι παρά Κυρίου αἰτήματα μυστικά μέχρις ἐσχάτης ἀναπνοῆς.

Ὅταν περί τινος ἀγαθοῦ παρακαλέσης τόν Θεόν, καί μή (≡15Ε_146≡> εἰσακούση σου παραυτίκα, μή ὀλιγωρήσης, μηδέ ὀλιγοψυχήσης· πολλάκις γάρ πρός τό παρόν οὐ συμφέρει σοι τό αἴτημα.

Ἀριστοτ. - Τόν εὐχόμενον δεῖ φρόνιμον εἶναι· μή λάθη τι κακόν εὐξάμενος ἑαυτῷ.

Ἀλέξανδρ. - Ἀλέξανδρος ὁ βασιλεύς, ἐπεί Ἀντίπατρος αὐτῷ πολλά κατά τῆς μητρός ἔγραφεν, Ἀγνοεῖς, ἔφη, Ἀντίπατρε, ὅτι μητρός ἕν δάκρυον, πολλῶν διαβολῶν ἐπιστολάς ἀπαλείφει;

Ἐπικούρ. - Εἰ ταῖς τῶν ἀνθρώπων εὐχαῖς ὁ Θεός κατηκολούθει, θᾶττον ἄν ἀπόλοιντο πάντες ἄνθρωποι, συνεχῶς πολλά καί χαλεπά κατ᾿ ἀλλήλων εὐχόμενοι.

Ἰσοκράτ. - Οἱ ἄνθρωποι τότε γίνονται βελτίους, ὅταν Θεῷ προσέρχονται· ὅμοιον δέ ἔχουσι Θεῷ, τό εὐεργετεῖν καί ἀληθεύειν.

Βίας. - Οὗτος συμπλέων ποτέ ἐσεβέσι, χειμαζομένης τῆς νεώς, κἀκείνων Θεούς ἐπικαλουμένων, Σιγᾶτε, ἔφη, μή αἴσθωνται ἡμᾶς ἐνθάδε πλέοντας.

Τούς αἰτουμένους παρά τῶν Θεῶν φρένας ἀγαθάς, καί μή ἑαυτούς παιδεύοντας, ἀναισθήτους ἔφασκεν εἶναι. Οὔτε γάρ ζωγράφον εὐχόμενον τοῖς θεοῖς δοῦναι αὐτῷ γραμμήν καί εὔχροιαν λαβεῖν ἄν, εἰ μή μάθοι τέχνην· οὔτε μουσικόν γενέσθαι ποτ᾿ ἄν ἕνεκεν εὐχῆς, εἰ μή ἄν τά μουσικά μάθοι. Τόν δέ αὐτόν τρόπον, οὐδ᾿ ἄν φρόνιμόν τινα μάθοι. τόν δέ αὐτόν τρόπον, οὐδ᾿ ἄν φρόνιμόν τινα γενέσθαι εὐχόμενον, εἰ μή τούτων τήν μάθησιν λάβοι.

**ΛΟΓΟΣ ΙΕ΄.**

## Περί διδαχῆς καί λόγων.

(≡15Ε_148≡> Ματθ. ι΄. - Ἀμήν λέγω ὑμῖν, ὅς ἄν ποιήση καί διδάξη, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

(=813=) Ἰακ. α΄. - Ἔστω πᾶς ἄνθρωπος ταχύς εἰς τό ἀκοῦσαι, καί βραδύς εἰς τό λαλῆσαι. Καί, Εἴ τις ἐν λόγῳ οὐ πταίσει, οὗτος τέλειός ἐστι, δυνάμενος χαλιναγωγῆσαι καί ὅλον τό σῶμα.

Σολομ. - Εἰς ὦτα ἄφρονος μηδέν λέγε, μή ποτε μυκτηρίση τούς συνετούς σου λόγους.

Σιράχ ΚΑ΄. - Ἐξήγησις μωροῦ, ὡς ἐν ὁδῷ φορτίον· ἐπί δέ χείλη συνετοῦ εὑρεθήσεται χάρις.

Βασιλείου. - Μήποτε τῇ ἀμετρίᾳ τοῦ λόγου ἄχρηστα ποιήσωμεν ἡμῖν τά φιλοπόνως συνειλεγμένα. Ἀτονοῦσα μέν ἡ διάνοια πάντων ὁμοῦ περιδράξασθαι, ὅμοιον πάσχει γαστρί, διά τήν ὑπερβολήν τοῦ κόρου, εἰς πέψιν ἀγαγεῖν τά παραπεμφθέντα μή δυναμένῃ.

Βέλτιον τάς ἑαυτῶν ἡνίας ἐνδιδόναι τεχνικωτέροις, ἤ ἄλλων ἡνιόχους εἶναι ἀνεπιστήμονας· καί ἀκοήν ὑποτιθέναι μᾶλλον εὐγνώμονα, ἤ γλῶσσαν κινεῖν ἀπαίδευτον.

Θεολόγου.

Ἄφωνον ἔργον κρεῖττον ἀπράκτου λόγου.

Βίου μέν οὐδείς πώποτε ὑψώθη δίχα,

Λόγου δέ πολλοί τοῦ κενῶς ψοφουμένου.

Ἤ μή διδάσκειν, ἤ διδάσκειν τῷ τρόπῳ.

Τοῦ λαλεῖν αἰσχρά, τό ἀκούειν ἀτιμότερον.

(≡15Ε_150≡> Χρυσοστ. - Τότε μάλιστα οἱ μαθηταί εἰς τόν ἀγαθόν ἀγωνίζονται ζῆλον, ὅταν παρά τῶν διδασκάλων ἔχωσι τά παραδείγματα.

Οὐκ ἀκίνδυνον ἡ ἀκρόασις, ὅταν ἡ διά τῶν ἔργων προσθήκη μή γένηται.

Ἔστις γνῶσις λόγου χωρίς, καί ἔστι γνῶσις μετά λόγου. Καί γάρ εἰσί πολλοί γνῶσιν μέν ἔχοντες, λόγον δέ οὐκ ἔχοντες.

Νείλου. - Περισσός πᾶς λόγος πρός διόρθωσιν, ὅταν ἡ τῶν ἀκουόντων πρός τό χεῖρον νεύουσα σπουδή, τοῖς κατά συμβουλήν λεγομένοις ἐναντίως διάκειται.

Διδύμου. - Τότε ἀνύει διδάσκαλος καί πιστεύεται λέγων, ὅταν ἀφ᾽ ὧν πράττει, παιδεύει, κατά τό, Ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καί διδάσκειν.

Μοσχίωνος. - Τόν προσομιλοῦντα τριχῇ διασκοποῦ, ὡς ἀμείνονα, ἤ ὡς ἥττονα, ἤ ὡς ἴσον· καί εἰ μέν ἀμείνονα, ἀκούειν χρή καί πείθεσθαι αὐτῷ· εἰ δέ ἥττω, ἀπειθεῖν· εἰ δέ ἴσον, συμφωνεῖν.

Δημώνακτ. - Ὁ λόγος, ὥσπερ πλάστης ἀγαθός τῆς ψυχῆς περιτίθεται σχῆμα.

(=816=) Σόλωνος. - Ὅσον ἐν πολέμῳ δύναται σίδηρος, τοσοῦτον ἐν πολιτείᾳ λόγος εὖ ἔχων ἰσχύει.

Ὁ αὐτός ἔφασκε, τόν λόγον, εἴδωλον εἶναι τῶν ἔργων.

Διογέν. - Τούς ῥήτορας τά δίκαια μέν ἔφη ἐσπουδακέναι λέγειν, πράττειν δέ, οὐδαμῶς.

Ἀττικοῦ τινος ἐγκαλοῦντος αὐτῷ, διατί Λακεδαιμονίους μᾶλλον ἐπαινῶν, παρ᾽ ἐκείνοις οὐ διατρίβει, Οὐδέ γάρ ἰατρός, ἔφη, ὑγείας ὤν ποιητικός ἐν τοῖς ὑγιαίνουσι τήν διατριβήν ποιεῖται.

Ἐτεοκλέους. - Μή τάς τῶν λεγόντων, ἔφη, δυνάμεις, ἀλλά τάς τῶν πραγμάτων φύσεις δοκιμάζειν.

(≡15Ε_152≡> Σωκράτης. - Ὡς ἥκιστα τοῖς δυνάσταις, ἤ ὡς ἥδιστα ὁμιλεῖν.

Οὐκ ἐκ τῶν λόγων τά πράγματα, ἀλλ᾽ ἐκ τῶν πραγμάτων τούς λόγους δεῖ κρατεῖν. Οὐ γάρ ἕνεκα τῶν λόγων τά πράγματα συντελεῖται, ἀλλ᾽ ἐκ τῶν πραγμάτων οἱ λόγοι.

Τρόπος ἔστω πείθων τοῦ λέγοντος, οὐ λόγος.

Τό γάρ λέγειν εὖ, δεινόν ἐστιν, εἰ φέροι
Τινά βλάβην.

Ἀνταγόρας. - Ἀνταγόρας ἐπεί ἐνεγίνωσκε παρά Βοιωτοῖς τό τῆς Θηβαΐδος σύγγραμμα, καί οὐδείς ὑπεσημήνετο, κλείσας τό βιβλίον, Δικαίως εἶπε, καλεῖσθε Βοιωτοί· βοῶν γάρ ὦτα ἔχετε.

Ἱέρων. - Οὗτος ἀκρόασιν ποιούμενος, εἶπε τριῶν ἐστοχάσθαι, τούς συνετούς ὠφελῆσαι, τούς ἀπείρους διδάξαι, καί τούς φθονερούς λυπῆσαι.

Οἰνοπίδ. - Οὗτος, ὁποία ἡ φύσις τοῦ ἀνθρώπου ἐστί, τοιοῦτον ἔφασκεν εἶναι καί τόν λόγον.

Ῥωμύλ. - Οὗτος, τόν μέν κέραμον ἐκ τοῦ κοπτοῦ ἔφη δοκιμάζεσθαι· τόν δέ ἄνθρωπον ἐκ τοῦ λόγου.

**ΛΟΓΟΣ Ιστ΄.**

## Περί νουθεσίας.

(≡15Ε_154≡> Ἰωανν. ε΄. - Εἶπεν ὁ Κύριος τῷ παραλυτικῷ, Ἰδέ ὑγιής γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μή χεῖρόν τί σοι γένοιτο.

Α΄ Θεσσ. ε΄. - Παρακαλοῦμεν ὑμᾶς, ἀδελφοί, νουθετεῖτε ὀλιγοψύχους καί ἀτάκτους· καί ἀντέχετε τῶν ἀσθενῶν, καί πάντοτε τό ἀγαθόν διώκετε.

Σολομῶντος ιβ΄. - Διά τοῦτο τούς παραπίπτοντας κατ᾽ ὀλίγον ἐλέγχεις, Κύριε, καί ἐν οἷς ἁμαρτάνουσιν ὑπομιμνήσκων νουθετεῖς, ἵνα ἀπαλλαγέντες τῆς κακίας αὐτῶν πιστεύσωσιν ἐπί σέ.

Σιράχ ιη΄. - Ἔλεος Κυρίου ἐπί πᾶσαν σάρκα, ἐλέγχων καί νουθετῶν καί ἐπιστρέφων ὡς ποιμήν τό ποίμνιον αὐτοῦ.

Βασιλ. - Βίαιον γάρ μάθημα οὐ πέφυκε παραμένειν· τό δέ μετά τέρψεως καί χάριτος εἰσδυόμενον, μονιμώτερόν πως ψυχαῖς ἐνιζάνει.

Ὁ τόν κείμενον ἐγείρειν βουλόμενος, ὑψηλότερος (=817=) εἶναι τοῦ πεπτωκότος πάντως ὀφείλει· ὁ δέ ἐξ ἴσου καταπεσών, ἑτέρου καί αὐτός ἀνιστῶντος κεῖται.

Θεολ. - Μήτε τό ἀλγεῖν ἀπαραμύθητον, μήτε τό εὖ πράττειν ἀπαιδαγώγητον.

Χρυσοστ. - Μή ἄλλους ἰατρεύειν ἐπιχειρήσωμεν, αὐτοί βρύοντες ἕλκεσιν.

Συμφέρει δάκνεσθαι διά τῆς τῶν ῥημάτων ἀλγηδόνος τούς ἁμαρτάνοντας, ἵνα τῆς διά τῶν πραγμάτων ἀσχημοσύνης ἀπαλλαγῶσιν.

Μή δεῖ βαρύνεσθαι τήν παραίνεσιν. Εἰ γάρ βαρύνεσθαι ἔδει, (≡15Ε_156≡> ἐμέ ἔδει τόν πολλάκις λέγοντα καί οὐκ ἀκουόμενον· οὐχ ὑμᾶς, τούς ἀεί μέν ἀκούοντας, ἀεί δέ παρακούοντας.

Ἀριστοτ. - Μή ἔλαττον ἡγοῦ τοῦ ἐπαινεῖσθαι τό νουθετεῖσθαι.

Διογένης. - Νεκρόν ἰατρεύειν καί γέροντα νουθετεῖν, ταυτόν ἐστιν.

Δημοσθ. - Πυνθανομένου τινός, πῶς ἄν τις ἑαυτοῦ διδάσκαλος γένηται, εἴπερ ὧν ἐπιτιμᾷ τοῖς ἄλλοις, ἔφη, καί ἑαυτῷ ἐπιτιμῴη μάλιστα.

Δημητρίου Φαληρέως. - Ἅ γάρ οἱ φίλοι τοῖς βασιλεύουσιν οὐ θαῤῥοῦσι παραινεῖν, ταῦτα ἐν τοῖς βιβλίοις γέγραπται.

Ὥσπερ τό μέλι τά ἡλκωμένα δάκνει, τοῖς δέ κατά φύσιν ἡδύ ἐστιν· οὕτω καί οἱ ἐκ φιλοσοφίας λόγοι.

Εὐριπίδ. -

Ἅπαντές ἐσμεν εἰς τό νουθετεῖν σοφοί.

Αὐτοί δ᾽ ὅταν ποιῶμεν, οὐ γινώσκομεν.

Αἰσώπ. - Αἴσωπος ἔφη, δύο πήρας ἕκαστος ἡμῶν φέρειν· τήν μέν, ἔμπροσθεν· τήν δέ, ὄπισθεν· καί εἰς μέν τήν ἔμπροσθεν, ἀποτιθέναι τά τῶν ἄλλων ἁμαρτήματα· εἰς δέ τήν ὄπισθεν, τά ἑαυτῶν· διό οὔτε καθορῶμεν αὐτά.

Ἰσοκράτ. - Μηδενί πονηρῷ πράγματι μήτε παρίστασο, μήτε συνηγόρει· δόξεις γάρ καί αὐτός τοιαῦτα πράττειν, εἰ τοῖς ἄλλοις πράττουσι βοηθεῖς.

Ἐπικτήτου. - Τόν νουθετοῦντα δεῖ πρῶτον τῆς τῶν νουθετουμένων αἰδοῦς τε καί αἰσχύνης ἐπιμελεῖσθαι· οἱ γάρ ἀπερυθριάσαντες ἀδιόρθωτοι.

Κρεῖττον τό νουθετεῖν τοῦ ὀνειδίζειν· τό μέν γάρ, ἤπιόν τε καί φίλον· τό δέ, σκληρόν καί ὑβριστικόν· καί τό μέν διορθοῖ τούς ἁμαρτάνοντας, τό δέ, μόνον ἐξελέγχει.

Ἐμπεδοκλ. - Ἐρωτηθείς, διατί σφόδρα ἀνανακτεῖς κακῶς ἀκούων, ἔφη. Ὅτι οὐδέ ἐπαινούμενος αἰσθήσομαι, εἰ μή κακῶς ἀκούων ἀχθήσομαι.

ΛΟΓΟΣ ΙΖ΄.

## Περί παιδείς καί φιλοσοφίας.

(≡15Ε_158≡> Ἰωάν. ζ΄. - Ἀνέβη ὁ Ἰησοῦς εἰς τό ἱερόν, (=820=) καί ἐδίδασκε τούς ὄχλους. Ἐθαύμαζον δέ οἱ Ἰουδαῖοι, λέγοντες, Πῶς οὗτος οἶδε γράμματα, μή μεμαθηκώς;

Α΄ Κορ. γ΄. - Εἴ τις δοκεῖ σοφός εἶναι ἐν ὑμῖν, ἐν τῷ αἰῶνι τούτῳ, μωρός γινέσθω, ἵνα γένηται σοφός. Ἡ γάρ σοφία τοῦ κόσμου τούτου, μωρία παρά τῷ Θεῷ ἐστιν.

Παροιμ. α' .- Σοφία ἐν ἐξόδοις ὑμνεῖται, ἐν δέ πλατείαις παῤῥησίαν ἄγει.

Σιράχ κς΄. - Οὐκ ἔστιν ἀντάλλαγμα οὐδέν πεπαιδευμένης ψυχῆς.

Σιράχ στ΄. - Τέκνον ἐν νεότητί σου ἐπίλεξαι παιδείαν· καί ὡς ἀῤῥοτριῶν καί σπείρων πρόσελθε αὐτῇ, καί ἀνάμενε τούς ἀγαθούς καρπούς αὐτῆς.

Βασιλείου. - Ἄμεινον καί συμφερώτερον ἰδιώτας καί ὀλιγομαθεῖς ὑπάρχειν, καί διά τῆς ἀγάπης πλησίον γενέσθαι τοῦ Θεοῦ, ἤ πολυμαθεῖς καί ἐμπείρους δοκοῦντας εἶναι, βλασφήμους εἰς τόν ἑαυτῶν εὑρίσκεσθαι Δεσπότην.

Τοῦ αὐτοῦ. - Ἐοίκασι τοῦς ὀφθαλμοῖς τῆς γλαύκης, οἱ περί τήν ματαίαν σοφίαν ἠσχοληκότες. Καί γάρ ἐκείνης αἱ ὄψεις νυκτός μέν ἐῤῥωνται· ἡλίου δέ λάμψαντος, ἀμαυροῦνται. Καί τούτων ἡ διάνοια, ὀξυτάτη μέν πρός τήν τῆς ματαιότητος θεωρίαν· πρός δέ τήν τοῦ ἀληθινοῦ φωτός κατανόησιν, ἐξαμαυροῦται.

Θεολόγου. - Οἶμαι δέ πᾶσιν ἄν ὁμολογεῖσθαι τῶν νοῦν ἐχόντων, τήν παίδευσιν τῶν παρ᾽ ἡμῶν ἀγαθῶν εἶναι τό πρῶτον.

Οἱ περί λόγους, μή σφόδρα τοῖς λόγοις θαῤῥεῖτε, μηδέ σοφίζεσθε (≡15E_160≡> περισσά καί ὑπέρ λόγον· μηδέ νικᾷν ἐπιθυμεῖτε πάντα κακῶς· ἀλλ᾽ ἔστιν ἅ καί ἡττᾶσθαι καλῶς ἀνέχεσθε.

Σοφία πρώτη, βίος ἐπαινετός καί Θεῷ κεκαθαρμένος.

Σοφία πρώτη σοφίας ὑπερορᾷν, τῆς ἐν λόγῳ κειμένης καί στροφαῖς λέξεων, καί ταῖς κιβδήλαις καί περιτταῖς ἀντιθέσεσιν. Ἐμοί δέ γένοιτο πέντε λόγους ἐν ἐκκλησίᾳ λαλεῖν μετά συνέσεως ἤ μυρίους ἐν γλώσσῃ.

Οὐ γάρ ὁ ἐν λόγοις σοφός, οὗτός μοι σοφός, οὐδ᾽ ὅστις γλῶσσαν μέν εὔστροφον ἔχει, ψυχήν δέ ἄστατον καί ἀπαίδευτον· ἀλλ᾽ ὅστις ὀλίγα μέν περί ἀρετῆς φθέγγεται, πολλά δέ οἷς ἐνεργεῖ πραδείκνυσι καί τό ἀξιόπιστον τῷ λόγῳ διά τοῦ βίου προστίθησιν. Κρείσσων γάρ εὐμορφία θεωρουμένη, τῆς λόγῳ ζωγραφουμένης· καί πλοῦτος ὅν αἱ χεῖρες κατέχουσιν, ἤ ὄνειροι πλάττουσι. Καί σοφία, οὐχ ἡ τῷ λόγῳ λαμπρυνομένη, ἀλλ᾽ ἡ διά τῶν ἔργων ἐλεγχομένη. Σύνεσις γάρ ἀγαθή πᾶσι τοῖς ποιοῦσιν αὐτήν, φησίν, ἀλλ' οὐ τοῖς κηρύττουσιν.

Ἡ γάρ φιλοσοφητέον, ἤ τιμητέον φιλοσοφίαν, εἴπερ μή μέλοιμεν παντελῶς ἔξω τοῦ καλοῦ πίπτειν, (=821=) μηδέ ἀλογίαν κατακριθήσεσθαι λογικοί γεγονότες, καί διά λόγου πρός λόγον σπεύδοντες.

Σοφώτεροι γάρ τῶν πολλῶν οἱ κόσμου χωρίσαντες αὐτούς, καί τῷ Θεῷ τόν βίον καθιερώσαντες.

Οὐδέν ἀναλωτότερον φιλοσοφίας, οὐδέν ἀλυπότερον. Πάντα ἐνδώσει πρότερον ἤ φιλόσοφος. Δύο ταῦτα δυσκράτητα, Θεός καί ἄγγελος, καί τό τρίτον, φιλοσοφία. [Ἔστι γάρ φιλόσοφος] ἄυλος ἐν ὕλῃ, ἐν σώματι ἀπερίγραπτος, ἐπί γῆς οὐράνιος, ἐν (≡15E_162≡> πάθεσιν ἀπαθής, πάντων ἡττώμενος πλήν φρονήματος· νικῶν τῷ νικᾶσθαι τούς κρατεῖν νομίζοντας.

Ἐγώ μίαν σοφίαν οἶδα, τό φοβεῖσθαι Θεόν. Ἀρχή τε γάρ σοφίας, φόβος Κυρίου. Καί, Τέλος λόγου τό πᾶν ἄκουε, τόν Θεόν φοβοῦ, καί τάς ἐντολάς φύλασσε.

Ποιήσατε δικαιοσύνης ὅπλον, καί μή θανάτου, τήν παίδευσιν.

Χρυσοστ. - Ὥσπερ γῆν μή βρεχομένην οὐκ ἔστι κἄν μυρία λάβη σπέρματα στάχυας ἐξενεγκεῖν· οὕτω ψυχήν οὐκ ἔστιν μή ταῖς θείαις Γραφαῖς φωτισθεῖσαν, κἄν μυρία τις ἐκχέῃ ῥήματα, καρπόν τινα ἐπιδείξασθαι.

Διδύμ. - Ἐντυγχάνειν δεῖ ταῖς θείαις Γραφαῖς. Ὥσπερ γάρ ὁ οἶνος πινόμενος ἀναπαύει λύπην, καί μεταβάλλει καρδίαν εἰς εὐφροσύνην· οὕτως ὁ πνευματικός οἶνος εἰς χαράν μεταβάλλει τήν ψυχήν.

Τό εἰδέναι τινά ὅτι ἀγνοεῖ, σοφίας ἐστίν· ὡς καί τό εἰδέναι ὅτι ἠδίκησε, δικαιοσύνης.

Τόν γνωστικόν οὐδέποτε τό πλουτεῖν γήθειν ποιεῖ, οὐδέ τό χρημάτων ἀπορεῖν εἰς ταπείνωσιν ἄγει· τῆς ἀρετῆς καί σοφίας αὐτόν ὑπερυψούσης, καί ὑπεράνω αὐτῶν ἵστασθαι παρασκευαζούσης.

Φίλωνος. - Ἀνάγκη ἀπειρίᾳ καί κακίᾳ ἡνιόχου, τά ὑποζευγμένα κατά κρημνῶν φέρεσθαι καί βαράθρων· ὥσπερ ἐμπειρίᾳ καί ἀρετῇ διασώζεσθαι. Ἀμήχανον τά μεγάλα πρό τῶν μικρῶν παιδευθῆναι.

Κλήμεντ. - Ἕπεται τῇ γνώσει τά ἔργα, ὡς τῷ σώματι ἡ σκιά.

Πλουτάρχου. - Ὀνείρῳ ἔοικεν ὁ τῶν ἀπαιδεύτων βίος, κενάς ἔχων φαντασίας.

Οὔτε ἐν ἰχθύσι φωνήν, οὔτε ἐν ἀπαιδεύτοις ἀρετήν δεῖ ζητεῖν.

(≡15Ε_164≡) Οὔτε ὕδωρ θολερόν, οὔτε ἀπαίδευτον ψυχήν ταράσσειν δεῖ.

Δυσάρεστοι ὄντες οἱ ἀπαίδευτοι, καθάπερ ἐξ οἰκιῶν, τῶν προαιρέσεων καθ᾽ ἡμέραν μετοικίζονται.

Οἱ μέν ξένοι, ἐν ταῖς ὁδοῖς, οἱ δέ ἀπαίδευτοι, ἐν τοῖς πράγμασι διαπλανῶνται.

(=824=) Πλάτωνος. - Πᾶσα ἐπιστήμη χωριζομένη δικαιοσύνης καί τῆς ἄλλης ἀρετῆς, πανουργία, ἀλλ᾽ οὐ σοφία φαίνεται.

Ἰσοκράτ. - Ὥσπερ τήν μέλιτταν ὁρῶμεν, ἐφ᾽ ἅπαντα μέν τά βλαστήματα καθιζάνουσαν, ἀφ᾽ ἑκάστου δέ τά χρήσιμα λαμβάνουσαν· οὕτω δεῖ καί τούς παιδείας ὀρεγομένους, μηδενός μέν ἀπείρως ἔχειν, πανταχόθεν δέ τά χρήσιμα συλλέγειν.

Μᾶλλον τήρει τάς τῶν λόγων, ἤ τάς τῶν χρημάτων παρακαταθήκας.

Ἀριστοτ. - Νομίζομεν δέ τήν εὐδαιμονίαν οὐκ ἐν τῷ πολλά κεκτῆσθαι γίνεσθαι· μᾶλλον δέ, ἐν τῷ τῇ ψυχῇ εὖ διακεῖσθαι. Καί γάρ τό σῶμα οὐ τό λαμπρᾷ ἐσθῆτι κεκοσμημένον, φαίη τις ἄν εἶναι μακάριον, ἀλλά τό τήν ὑγείαν ἔχον καί σπουδαίως διακείμενον, κἄν μηδέν τῶν παρακειμένων αὐτῷ παρῇ. Τόν αὐτόν δύ τρόπον καί ψυχήν, ἐάν ᾖ πεπαιδευμένη, τήν τοιαύτην καί τόν ἄνθρωπον εὐδαίμονα προσαγορευτέον ἐστίν· οὐκ ἄν τις ἐκτός ᾖ λαμπρῶς κεκοσμημένος, αὐτός δέ μηδενός ἄξιος. Οὔτε γάρ ἵππον ἐάν ψέλλια χρυσᾶ καί σκεύν ἔχει πολυτελῆ, φαῦλος ὤν, τόν τοιοῦτον ἄξιόν τινος νομίζομεν εἶναι· ἀλλ᾽ ὅς ἄν διακείμενος ᾖ σπουδαίως, τοῦτον μᾶλλον ἐπαινοῦμεν. Ὥσπερ γάρ εἴ

τις τῶν οἰκετῶν αὐτοῦ χείρων εἴη, καταγέλαστος ἄν γένοιτο· τόν αὐτόν τρόπον, οἷς πλείονος ἀξίαν τήν κτῆσιν εἶναι συμβέβηκεν τῆς ἰδίας φύσεως, ἀθλίου τούτους εἶναι δεῖ νομίζειν.

Δημοσθ. - Οὗτος, τήν μέν ῥίζαν τῆς παιδείας ἔφη εἶναι πικράν· τούς δέ καρπούς, γλυκεῖς.

Δημοκρίτ. - Ἡ παιδεία, εὐτυχοῦσι μέν ἐστι κόσμος, ἀτυχοῦσι δέ, καταφύγιον.

(≡15E_166≡> Τάς μέν πόλεις ἀναθήμασι· τάς δέ ψυχάς, μαθήμασι δεῖ κοσμεῖν.

Σωκράτ. Ἰδών πλούσιον ἀπαίδευτον, ἔφη, Ἰδού καί τό χρυσοῦν ἀνδράποδον.

Ὁ αὐτός ἐρωτηθείς, τί τῶν ζώων κάλλιστόν ἐστι, ἔφη, Ἄνθρωπος παιδείᾳ κοσμούμενος.

Ὀνειδιζόμενος ὑπό τινος ὅτι βαρβαρίζει, ἔφη, Ἐγώ μέν τῷ λόγῳ, ὑμεῖς δέ τῷ τρόπῳ.

Ὁ αὐτός ἐρωτηθείς, τί ἄριστόν ἐστι μάθημα, ἔφη, Τό ἀπομαθεῖν τά κακά.

Δημώνακτ. - Οἱ ἀπαίδευτοι, καθάπερ οἱ ἁλιευόμενοι ἰχθύες, ἑλκόμενοι σιγῶσι.

Διογένης. - Ἐρωτηθείς, τί γῆ βαρύτερον βαστάζει, ἔφη, Ἄνθρωπον ἀπαίδευτον.

Ἐρίστιππος ὁ Κυρηναϊκός φιλόσοφος, παρακελεύετο τοῖς νέοις τοιαῦτα ἐφόδια κτᾶσθαι, ἅτινα αὐτοῖς καί ναυαγήσασι συνεκκολυμβήσει.

Σόλ. - Ὀνειδιζόμενός ποτε, ὅτι δίκην ἔχων ἐμισθώσατο ῥήτορα, Καί γάρ, ἔφη, ὅταν δεῖπνον ἔχω μάγειρον μισθοῦμαι.

Κλεάνθ. - Κλεάνθης, τούς ἀπαιδεύτους, μόνῃ τῇ μορφῇ τῶν θηρίων διαφέρειν.

(=825=) Γλύκων. - Γλύκων ὁ σοφός, τήν παιδείαν ἔλεγεν ἱερόν ἄσυλον εἶναι.

Ἐμπεδοκλ. - Ἐμπεδοκλῆς ὁ φυσικός πρός τόν λέγοντα, ὅτι Οὐδένα σοφόν δύναμαι εὑρεῖν κατά λόγον, εἶπε, Τόν γάρ ζητοῦντα σοφόν, αὐτόν πρότερον εἶναι δεῖ σοφόν.

Ἱέρων. - Ἱέρων ὁ Σικελός τύραννος, Ξενοφάνους τοῦ Κολοφωνίου ποιητοῦ ψέγοντος Ὅμηρον, ἠρώτησεν αὐτόν, πόσους οἰκέτας ἔχεις; τοῦ δέ εἰπόντος, Δύο, καί τούτους μόγις τρέφειν· Οὐκ αἰσχύνῃ, φησίν, Ὅμηρος ψέγων, ὅς μετηλλαχώς πλείονας ἤ μυρίους τρέφει;

Καπιόνου φιλοσόφ. - Φιλόσοφος ἔχων δύο μαθητάς, ἕνα (≡15E_168≡> μέν ἀφυῆ, φιλόπονον δέ· ἕτερον δέ εὐφυῆ, ἀργόν δέ, εἶπεν, Ἀμφότεροι ἀπόλλυσθε, ὅτι σύ μέν θέλων, οὐ δυνήσῃ· σύ δέ δυνάμενος, οὐ θέλεις.

Ὁ αὐτός ἔλεγε, μεγάλους δεῖ λαμβάνειν μισθούς μαθητῶν τούς διδασκάλους· παρά μέν τῶν εὐφυῶν, ὅτι πολλά μανθάνουσι· παρά δέ τῶν ἀφυῶν, ὅτι πολύν κόπον παρέχουσιν.

Ὁ αὐτός ἐφωτηθείς, τί αὐτῷ γέγονεν ἐκ φιλοσοφίας, ἔφη, Τό ἀνεπιτάκτως ποιεῖν, ἅ τινες διά τόν ἐκ τῶν νόμων φόβον ποιοῦσι.

Φιλιστίων.

Μαθημάτων φρόντιζε μᾶλλον, ἤ χρημάτων.
Τά γάρ μαθήματ᾽ εὐπορεῖ τά χρήματα.
Ἐκ τοῦ παθεῖν γίνωσκε καί τό συμπαθεῖν.
Καί σοί γάρ ἄλλος συμπαθήσεται παθών.
Τά σπουδαῖα μελέτα καί τόν νόμον.
Ἐάν τι παρηκμακώς μανθάνης, μή αἰσχύνου,
Βέλτιον γάρ ὀψιμαθῆ καλεῖσθαι ἤ ἀμαθῆ.

Θεόκριτ. - Θεόκριτος ὁ Χίος ἀφυοῦς ποιητοῦ ἀκρόασιν ποιούμενος, ἐρωτώμενος ὑπ᾽ αὐτοῦ, ποῖά ἐστι καλῶς εἰρημένα, ἔφη, Ἅ παρέλιπες.

Τοῦ αὐτοῦ. - Ὁ μέν γεωργός, τήν γῆν· ὁ δέ φιλόσοφος τήν ψυχήν ἐξημεροῖ.

Ἐκ τοῦ Δημοκράτ. Ἰσοκράτ. καί Ἐπικτήτου. - Τῆς παιδείας ὥσπερ χρυσοῦ τό καλόν ἐν παντί τόπῳ τίμιον.

Σοφίαν ὁ ἀσκῶν, ἐπιστήμην τήν περί Θεοῦ ἀσκεῖ.

Τοῦ αὐτοῦ. - Οὐδέν ἐν ζώοις κάλλιστόν ἐστιν, ὡς ἄνθρωπος παιδείᾳ κεκοσμημένος.

Ἀριστοτ. - Ταῖς μέν πόλεσι τά τείχη, ταῖς δέ ψυχαῖς ὁ ἐκ παιδείας νοῦς, κόσμον καί ἀσφάλειαν παρέχεται.

Δημοκρίτ. - Νεανίσκου ἐν θεάτρῳ ἐναβρυνομένου, καί λέγοντος (≡15E_170≡> σοφόν εἶναι, πολλοῖς ὁμιλήσας σοφοῖς, εἶπέ τις, Κἀγώ πολλοῖς πλουσίοις, ἀλλά πλούσιος οὐκ εἰμί.

(=828=) Ὁ αὐτός ἔφη, οὐ καλόν πεπαιδευμένον ἐν ἀπαιδεύτοις διαλέγεσθαι, ὥσπερ οὐδέ νήφοντα μεθύουσιν.

Τοῦ αὐτοῦ. - Ὁ αὐτός ἔλεγεν, ὅτι ὁ παιδευόμενος τριῶν τούτων χρῄζει, φύσεως, μελέτης, χρόνου.

Οἰνοπίδ. - Οἰνοπίδης ὁρῶν μειράκιον πολλά βιβλία κτώμενον, ἔφη, Μή τῇ κιβωτῷ ἀλλά τῷ στήθει.

Ὁ αὐτός ἔλεγε, τά βιβλία, τῶν μέν μεμαθηκότων ὑπομνήματα εἶναι, τῶν δέ ἀμαθῶν μνήματα.

Ὁ αὐτός εἶπε, τόν νοῦν παραίτιον δαίμονα, τοῖς μέν πεπαιδευμένοις, ἀγαθῶν· τοῖς δέ ἀπαιδεύτοις, κακῶν εἶναι.

Σωκράτ. Σωκράτης ὁ φιλόσοφος ἐρωτηθείς, Τί ἥδιστον ἐν τῷ βίῳ; ἔφη, Παιδεία καί ἀρετή καί ἱστορία τῶν ἀγνουμένων.

Στίλπων. - Στίλπων ὁ Μεγαρικός φιλόσοφος, ἁλύσης αὐτοῦ τῆς πατρίδος ὑπό Δημητρίου τοῦ τυράννου καί διαρπαγείσης, ἀναχθείς ἐπί τόν βασιλέα, καί ἐρωτώμενος, εἴ τι δή αὐτός ἀπώλεσε, Τῶν ἐμῶν μέν οὐδέν, ἔφη· τόν γάρ λόγον καί τήν παιδείαν ἔχω· τά δέ λοιπά, διατί μᾶλλον ἐμά, ἤ οὐχί τῶν πολιορκούντων;

Ὁ αὐτός ἐρωτηθείς τῆς πόλεως αὐτοῦ διαρπαζομένης ὑπό Δημητρίου, Μή καί τῶν σῶν, Στίλπων, τί ἀφαιρεῖται; εἶπεν, Οὐδέν.

Οὐ γάρ πώποτ᾽ ἐμάς βοῦς ἤλασαν, οὐδέ μέν ἵππους· ἄλλως τε δέ, οὐδένα στρατιωτῶν ἀρετήν ἐπ ὤμων ἐκφέροντα εἶδον

Λάσος. - Λάσος ὁ Ἑρμηνεύς ἐρωτηθείς ὑπό τινος, τί εἴη σοφώτατον, Πεῖρα, ἔφη.

(≡15Ε_172≡> Ὁ αὐτός, ἀφυοῦς ζωγράφου λέγοντος αὐτῷ, Κονίασόν σου τήν οἰκίαν, ἵνα αὐτήν ζωγραφήσω, ἔφη, Οὔμενουν, ἀλλά πρότερον αὐτήν ζωγράφησον, ἵνα μετά ταῦτα ἐγώ αὐτήν κονιάσω.

Προταγ. - Προταγόρας ἔλεγε, μηδέν εἶναι , μήτε τέχνην ἄνευ μελέτης, μήτε μελέτην ἄνευ τέχνης.

Ἐπικούρ. - Οὐ προσποιεῖσθαι δεῖ φιλοσοφεῖν, ἀλλ᾽ ὄντως φιλοσοφεῖν. Οὐ γάρ προσδεόμεθα τοῦ δοκεῖν ὑγιαίνειν, ἀλλά τοῦ κατ᾽ ἀλήθειαν ὑγιαίνειν.

Δημώνακτ. - Ὁ αὐτός ἐφωτηθείς, τίς αὐτοῦ διδάσκαλος γεγονώς εἴη, Τό τῶν Ἀθηναίων, ἔφη, βῆμα, ἐμφαίνων ὅτι ἡ διά τῶν πραγμάτων ἐμπειρία, κρείττων πάσης σοφιστικῆς διδασκαλίας ἐστίν.

**ΛΟΓΟΣ ΙΗ΄.**

## Περί εὐτυχίας καί δυστυχίας.

(≡15Ε_174≡> Λουκ. στς΄. - Ἀπέλαβες σύ τά ἀγαθά σου ἐν τῇ ζωῇ σου, καί Λάζαρος ὁμοίως τά κακά· νῦν δέ, ὅδε παρακαλεῖται, σύ δέ ὀδυνᾶσαι.

Κορινθ. δ΄. - Ἄχρι τῆς ἄρτι ὥρας καί πεινῶμεν καί διψῶμεν καί γυμνητεύομεν, καί κολαφιζόμεθα, καί ἀστατοῦμεν ἐργαζόμενοι ταῖς ἰδίαις χερσίν.

Σιράχ ιβ. - Ἐν ἀγαθοῖς ἀνδρός, οἱ ἐχθροί αὐτοῦ ἐν λύπῃ, καί ἐν κακίᾳ αὐτοῦ καί ὁ φίλος διαχωρισθήσεται.

Σιράχ ιη΄. - Μνήσθητι καιρόν λιμοῦ ἐν καιρῷ πλησμονῆς· πτωχείαν καί ἔνδειαν ἐν ἡμέρᾳ πλούτου. Ἀπό πρωΐ ἕως ἑσπέρας μεταβάλλει ὁ καιρός.

Σιράχ θ΄. - Μή ζηλώσῃς δόξαν ἁμαρτωλῶν.

Ἐξ Ἐπιγρ.

Ὥς κε [ὡς δέ] φέρει τό φέρων σε φέρειν, φέρου· εἰ δ᾽ ἀπειθήσεις,

Καί σαυτόν βλάψεις, καί τό φέρον σε φέρειν.

Θεολόγου. - Ὅταν εὐπλοεῖς, μάλιστα μέμνησο ζάλης.

Τίς οἶδεν εἰ ὁ μέν διά κακίαν κολάζεται, ὁ δέ ὡς ἐπαιρόμενος, αἴρεται· ἀλλά μή τοὐναντίον, ὁ μέν διά πονηρίαν ὑψοῦται, ὁ δέ δι᾽ ἀρετήν δοκιμάζεται;

(≡15Ε_176≡> Χρυσοστ. - Ἕν μόνον πεισθῆναι χρή, ὅτι συμφερόντως ἡμῖν ἅπαντα οἰκονομεῖται παρά Θεοῦ. τόν δέ τρόπον μηκέτι ζητεῖν, μήτε ἀγνοοῦντας ἀσχάλλειν ἤ ἀθυμεῖν. Οὔτε γάρ δυνατόν ταῦτα εἰδέναι, οὔτε

συμφέρον· τό μέν, διά τό θνητούς εἶναι· τό δέ, διά τό ταχέως εἰς ἀπόνοιαν αἵρεσθαι.

Νείλου. - Οὐ χρή ἐπί παντί πτώματι καί πάσῃ ἁμαρτίᾳ ἀνθρώπου ἐπαίρεσθαι, οὐδ᾽ ἐπιχαίρειν ποτέ τῷ ὑποσκελισθέντι, κἄν εἰ δοκεῖ ὁ τοιοῦτος ἐχθρός φόνιος εἶναι.Θρήνει τόν ἁμαρτωλόν εὐθηνοῦντα· τό ξίφος γάρ αὐτῷ τῆς δίκης ἐπιτείνεται.

Διατί δίκαιοι ἀσθενοῦσι καί πένονται, ἄδικοι δέ αἴρονται καί πλουτοῦσι; Φημί, ἵνα οἱ μέν στεφανωθῶσιν, οἱ δέ αἰωνίως τιμωρηθῶσιν.

Πάντων σου τῶν πραγμάτων κατευοδουμένων, ἐκδέχου μεταβολήν· καί πάλιν ποτέ ὑπό ἀπροσδοκήτων (=832=) συμφορῶν κυκλούμενος, φαντάζου τά χρηστά καί κρείττονα.

Φίλων. - Χαίρειν ἐπί ταῖς ἑτέρων ἀτυχίαις, εἰ καί δίκαιόν ποτε, ἀλλ᾽ οὐκ ἀνθρώπινον.

Οὐ μή τό ἀλγεῖν ἀπαραμύθητον, εἰ μήτε τό εὖ πράττειν ἀπαιδαγώγητον.

Μεγίστη γάρ ἐπικουρία τοῦ ἀτυχοῦσι, μεταβολῆς ἐλπίς, καί τό κρεῖττον ἐν ὀφθαλμοῖς κείμενον.

Πληγή τοῖς εὖ φρονοῦσι παίδευμα γίνεται, καί κρείττων εὐημερίας πολλάκις κακοπάθεια.

Μεγίστη συμφορά ἀνθρώπῳ δυσπραγοῦντι, καί ἡ ἐρημία τοῦ ἀνακτησομένου.

Μέγα τῷ ἀτυχοῦντι φάρμακον ἔλεος ἀπό ψυχῆς εἰσφερόμενος· καί τό συναλγεῖν γνησίως, πολύ τι κουφίζει τῆς συμφορᾶς.

Εὐαγρίου. - Πᾶσα συμφορά κούφη ἐστίν ἀνδρί μή κούφῳ.

Πλουτάρχ. - Οὔτε τόν ἀῤῥωστοῦντα ἡ χρυσόπους ὠφελεῖ κλίνη, οὔτε τόν ἀνόητον ἡ ἐπίσημος εὐτυχία.

Τοῖς μέν νοσοῦσιν ἰατρούς· τοῖς δέ ἀτυχοῦσι, φίλους δεῖ παρεῖναι.

(≡15E_178≡> Ἐν μέν ταῖς μέθαις παροινοῦσιν· ἐν δέ ταῖς ἀτυχίαις παρανοοῦσιν οἱ πλεῖστοι.

Ἀῤῥωστοῦντι φορτίον ἐπιθεῖναι, ἤ ἀπαιδεύτῳ ψυχῇ εὐτυχίαν, ταυτόν ἐστιν.

Αἱ ἐπιφανεῖς τύχαι, καθάπερ οἱ σφοδροί τῶν ἀνέμων, μεγάλα ποιοῦσι ναυάγια.

Ὥσπερ οἱ ἐν εὐδίᾳ πλέοντες, καί τά πρός τόν χειμῶνα ἔχουσιν ἕτοιμα· οὕτως οἱ ἐν εὐτυχίᾳ φρονοῦντες, εὖ, καί τά πρός τήν ἀτυχίαν ἡτοιμάκασι βοηθήματα.

Νοσοῦντος δίαιτα, καί ἄφρονος εὐτυχία, τό δυσάρεστον.

Ἔοικεν ἡ τύχη φαύλῳ ἀγωνοθέτῃ· πολλάκις γάρ τόν μηδέν πράσσοντα στεφανοῖ.

Ἡ τύχη καθάπερ τοξότης, ποτέ μέν ἐπιτυγχάνει βάλλουσα ἐφ᾽ ἡμᾶς, ὥσπερ ἐπί τινα σκοπόν· ποτέ δέ ἐπί τά σύνεγγυς παρακείμενα ἡμῖν.

Ἀτυχίαν κρύπτε, ἵνα μή τούς ἐχθρούς σου εὐφράνῃς.

Ἰσοκρ. - Μηδενί συμφοράν ὀνειδίσῃς· κοινή γάρ ἡ τύχη, καί τό μέλλον ἀόρατον.

Νόμιζε μηδέν εἶναι τῶν ἀνθρωπίνων βέβαιον. Οὕτω γάρ οὔτε εὐτυχῶν ἔσῃ περιχαρής, οὔτε δυστυχῶν περίλυπος.

Καί κυβερνήτης ἀγαθός ἐνίοτε ναυαγεῖ· καί ἀνήρ σπουδαῖος ἀτυχεῖ.

Δημοκρίτ. - Γαμβρόν ὁ μέν ἐπιτυχών, εὗρεν (=833=) υἱόν· ὁ δέ ἀποτυχών, ἀπώλεσε καί θυγατέρα.

Σωκράτ. - Καλόν μέν ἐπί τῆς ἑστίας φαίνεσθαι τό πῦρ λαμπρόν· ἐπί δέ τῆς ἀτυχίας, τόν νοῦν.

Σωκράτης. - Οἱ μέν ἀκρατεῖς ἐν ταῖς ἀῤῥωστίαις, οἱ δέ ἄφρονες ἐν ταῖς εὐτυχίαις εἰσί συσθεράπευτοι.

Ὁ αὐτός ἐρωτηθείς, Τί λυπεῖ τούς ἀγαθούς; ἔφη, Εὐτυχία (≡15E_180≡> πονηρῶν· φιλεῖ γάρ εὐημερία παράλογος, ὕβρεως ἔργα προκαλεῖσθαι.

Ὅν ἡ τύχη προπηλακίζει, καί παρά τῶν πράων οὕτως μάστιγας εὑρίσκει.

Δημώνακτ. - Οὔτε οἱ ἄμουσοι τοῖς ὀργάνοις, οὔτε οἱ ἀπαίδευτοι ταῖς τύχαις δύνανται συναρμόσασθαι.

Δείκνυσιν ἡ μέν τροπή, τόν κατά ἀλήθειαν ἀνδρεῖον· ἡ δέ ἀτυχία, τόν φρόνιμον.

Ἐκ τῶν Φαυωρίνου. - Εὐτυχών μή ἔσο ὑπερήφανος· ἀπορήσας, μή ταπεινοῦ· τάς μεταβολάς τῆς τύχης γενναίως ἐπίστασο φέρειν.

Ἀλέξανδρ. - Ἀλέξανδρος ὁ βασιλεύς ἰδών Διογένην κοιμώμενον ἐν πίθῳ, ἔφη· Ὦ πίθε μεστέ φρενῶν· ὁ δέ φιλόσοφος ἀναστάς, ἔφη · Ὦ βασιλεῦ μέγιστε.

Θέλω τύχης σταλαγμόν, ἤ φρενῶν πίθον,
Ἧς μή παρούσης δυστυχοῦσιν αἱ φρένες.
Πρός ὅν τις ἀντέφησε τῶν φιλοφρόνων,
Ῥανίς φρενῶν μοι μᾶλλον, ἤ βυθός τύχης,
Ἧς μή παρούσης δυστυχοῦσιν αἱ φρένες.

Ἐπικούρου. - Ἡ ταπεινή ψυχή, τοῖς μέν εὐημερήμασιν ἐχαυνώθη· ταῖς δέ συμφοραῖς καθηρέθη.

Δημοσθ. - Τόν μή βουλόμενον γενναίως φέρειν ἀτυχίαν, μηδ᾽ εὐτυχίαν ἔφη δύνασθαι.

Κυψέλου. Κορινθ. - Εὐτυχών μέτριος ἴσθι· ἀτυχών δέ, φρόνιμος.

Ἐκ τοῦ Ἐπικτήτου καί Ἰσοκράτ. - Οἱ πεπαιδευμένοι καθάπερ οἱ ἐκ παλαίστρας, κἄν πέσωσι, ταχέως καί ἐπιδεξίως ἐκ τῆς ἀτυχίας ἐξανίστανται.

Τόν λογισμόν ὥσπερ ἰατρόν ἀγαθόν, ἐπικαλεῖσθαι δεῖ ἐν ἀτυχίᾳ βοηθόν.

Εὐτυχίας ὥσπερ μέθης ἄφρων ἐπί πλεῖον ἀπολαύσας, ἀνοητότερος γίνεται.

Τῶν εὐτυχούντων ἀνταγωνιστής ὁ φθόνος.

(≡15Ε_182≡> Ὁ μεμνημένος τί ἐστιν ἄνθρωπος, ἐπ᾽ οὐδενί τῶν συμβάντων δυσχερανεῖ.

Εἰς μέν τό εὐπλοῆσαι, κυβερνήτου καί πνεύματος· (=836=) εἰς δέ τό εὐδαιμονῆσαι, λογισμοῦ δεῖ καί τέχνης.

Τῆς εὐτυχίας ὥσπερ ὀπώρας παρούσης ἀπολαύειν δεῖ.

Ἀλόγιστός ἐστιν, ὁ ἐν τοῖς συμβαίνουσι κατά φυσικήν ἀνάγκην ἀχθόμενος.

Βίας. - Ἀτυχῆ ἔφη εἶναι τόν ἀτυχίαν μή φέροντα.

Ὁ αὐτός ἐρωτηθείς, Τί δυσχερές; Τήν ἐπί τό χεῖρον, ἔφη, μεταβολήν εὐγενῶς ὑπενεγκεῖν.

Ζήνων. - Ζήνων ὁ Κιτιεύς περιπεσών ναυαγίῳ καί τά ὄντα ἀπολέσας, οὐδέν ἀγεννές ἐφθέγξατο· ἀλλ᾽ Εὖγε, εἶπεν, ὦ τύχη, ὅτι συνέστειλας ἡμᾶς εἰς τό τριβώνιον τοῦτο.

Ἱέρωνος. - Ὁ αὐτός ἐρωτηθείς, Τίς ὁ εὐδαίμων; ἔφη, Ὁ τό μέν σῶμα ὑγιής, τήν δέ ψυχήν εὔπορος, τήν δέ φύσιν εὐπαίδευτος.

Θαλῆς. - Ὁ Θαλῆς ἐρωτηθείς, Πῶς ἄν τις ἀτυχίαν ἄριστα φέροι; ἔφη, Εἰ τούς ἐχθρούς χείρονα πράττοντας βλέποι.

Ῥωμήλ. - Ῥαδίως μή μακαρίσῃς ἄνθρωπον σαλεύοντα ἐπί φίλοις ἤ τέκνοις, ἤ τισι τῶν ἐφήμερον σωτηρίαν ἐχόντων. - Ἐπισφαλῆ γάρ τοιαῦτα· τό δέ ἐφ᾽ ἑαυτοῦ ὀχεῖσθαι, τοῦ Θεοῦ μόνου βέβαιον.

Ὁ αὐτός ἔφη, τά παθήματα τοῖς ἀνθρώποις, μαθήματα εἶναι περί τόν βίον. Πολλοί γάρ οὐ δυνάμενοι τό μέλλον προορᾷν τῷ λόγῳ τῷ πάσχειν ᾔσθοντο τά πράγματα.

Χαῖρε ἐπί τοῖς συμβαίνουσι τῶν ἀγαθῶν, καί λυποῦ μετρίως ἐπί τοῖς συμβαίνουσι τῶν κακῶν.

Φιλιστίων. -

Λύουσιν ἡμῶν συμφοραί τάς συμφοράς,<br>
Παρηγοροῦσι τά κακά δι᾽ ἑτέρων κακῶν.

(≡15Ε_184≡> Εὐριπίδ. -

Ἐν τοῖς κακοῖς δέ τούς φίλους εὐεργετεῖν.<br>
Ὅταν γάρ ἡ τύχη διδῷ, τί χρή φίλου<br>
Ἀρκεῖ γάρ ὁ Θεός αὐτός ὠφελεῖν θέλων.

Ἰωσήππου. - Ὥσπερ ἀπειροκάλων τό λίαν ἐπαίρεσθαι ταῖς εὐπραγίαις· οὕτως ἀνάνδρων τό καταπτήσσειν ἐν τοῖς πταίσμασι· ὀξεῖα γάρ ἀμφοτέροις ἡ μεταβολή.

ΛΟΓΟΣ ΙΘ΄.

## Περί ὀργῆς καί θυμοῦ.

(≡15E_186≡> Ματθ. ε΄. - Πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, ἔνοχος ἔστι τῇ κρίσει.

(=837=) Ἐφ. δ΄. - Ὁ ἥλιος μή ἐπιδυέτω ἐπί τῷ παροργισμῷ ὑμῶν· μηδέ δίδοτε τόπον τῷ διαβόλῳ.

Πᾶσα πικρία καί ὀργή ἀρθήτω ἀφ᾽ ὑμῶν, σύν πάσῃ κακίᾳ.

Παροιμ. κζ΄. - Βαρύ λίθος, καί δυσβάστακτον ἄμμος· ὀργή δέ ἄφρονος βαρυτέρα ἀμφοτέρων.

Παροιμ. ις΄. - Κρεῖσσον ἀνήρ μακρόθυμος ἰσχυροῦ· ὁ δέ κρατῶν ὀργῆς, ὡς καταλαμβάνων πόλιν.

Θυμός βασιλέως, ἄγγελος θανάτου· ἀνήρ δέ σοφς ἐξιλάσει αὐτόν.

Σιράχ λ΄. - Ὀργή καί θυμός ἐλαττοῦσιν ἡμέρας.

Βασιλ. ΄- Ἀμυνόμενος δέ καί εἰς ἴσον ἀντικαθιστάμενος τῷ λοιδόρῳ, τί καί ἀπολογήσῃ; Ὅτι παρώξυνε κατάρξας; Καί ποίας τοῦτο συγγνώμης ἄξιον; Οὐδέ γάρ ὁ πόρνος ἐπί τήν ἑταίραν μετατιθείς τήν αἰτίαν, ὡς πρός τήν ἁμαρτίαν διερεθίσασαν, ἧττον τῆς κατακρίσεως ἀξιοῦται.

Τί ὀργῆς ἀφρονέστερον; Ἐάν μείνῃς ἀόργητος, ᾔσχυνας τά ὑβρίσαντα, ἔργῳ τήν σωφροσύνην ἐπιδειξάμενος.

Θυμός ἐγείρει μάχην, μάχη δέ γεννᾷ λοιδορίας· αἱ δέ λοιδορίαι, πληγάς· πληγαί δέ τραύματα· ἐκ δέ τραυμάτων, πολλάκις θάνατος.

(≡15E_188≡> Θεολόγου. - Οὔτε στέφανοι χωρίς ἀνταγωνιστῶν· οὔτε πτῶμα χωρίς ἀντιπάλου.

Τυφλόν ὁ θυμός καί ἐπίλυπον, καί μάλιστα ὅταν τό δικαίως ἀγανακτεῖν παρῇ.

Χρυσοστ. - Ὅταν δέ τις ὑβρίσῃ, ἐννόησον τήν κόλασιν ἥν κολάζεται· καί οὐ μόνον οὐχ ἕξεις ὀργήν, ἀλλά καί δάκρυα ἀφήσεις. Οὐδέ γάρ πρός πυρέττοντά τις παροξύνεται, οὔτε πρός τόν φλεγμαίνοντα ἀλλ᾽ ἐλεεῖ πάντως καί δακρύει. Εἰ δέ καί ἀνύνασθαι βούλει, σίγησον, καί καιρίαν ἔδωκας αὐτῷ τήν πληγήν. Ἄν δέ δηχθείς ὑβρίσῃς, ἀναγκάζεις ἀληθῆ νομίζεσθαι τά λεγόμενα. Διατί γάρ ὁ πλούσιος ἀκούων ὅτι πένης ἐστί, γελᾷ; ὅτι μή σύνοιδεν ἑαυτῷ πενίαν. Εἰ τοίνυν μέλλομεν γελᾷν· ἐπί ταῖς ὕβρεσι, μεγίστην ἀπόδειξιν παρεξόμεθα, τό μή συνειδέναι τοῖς λεγομένοις.

Οὐδέν οὕτω καθαρότητα νοῦ καί τό διειδές θολοῖ τό τῶν φρενῶν, ὡς θυμός ἄτακτος, καί μετά πολλῆς τῆς ῥύμης φερόμενος.

Εὐτονωτέρας ἐπί τῆς ὀργῆς χρ.ήζομεν τῆς σπουδῆς. Τυραννικόν γάρ τό πάθος, καί πολλάκις παρασύρει τούς μή νήφοντας, καί πρό τό βάραθρον αὐτό κατάγει τῆς ἀπωλείας.

Ὀργίλος εἶ; ἔσο κατά τήν τῶν ἁμαρτημάτων τῶν σαυτοῦ τοιοῦτος· ἐπίπληττε τῇ ψυχῇ· μάστιζε τῇ συνειδήσει σου. Σφοδρός ἔσο κριτής καί (840) πικρός δικαστής τοῖς οἰκείοις ἁμαρτήμασι. Τοῦτο τῆς ὀργῆς τό κέρδος ἐστί· διά τοῦτο ἡμῖν αὐτήν ἐνέθηκεν ὁ Θεός.

Εὐαγρίου. - Βρωμάτων ἤ πομάτων ἀπεχόμενος, θυμόν δέ ἀλόγως κινῶν, οὗτος ἔοικε ποντοπορούσῃ νηΐ, καί ἐχούσῃ δαίμονα κυβερνήτην.

Κυρίλλου. - Ποῖον οὕτω θηρίον ὠμόν καί ἀνήμερον, ὡς δύσοργος ἀνήρ, καί ἀκράτῳ θυμῷ τυραννούμενος;

Ἐκ τῶν Πατέρων. - Διά τεσσάρων πραγμάτων ἡ ὀργή ἐγγίνεται, τοῦ δοῦναι καί λαβεῖν, καί τοῦ ποιῆσαι τό ἴδιον θέλημα, καί τοῦ ἀγαπᾷν δίκας, καί τοῦ νομίζειν φρόνιμον εἶναι ἑαυτόν.

(≡15E_190≡> Διονυσίου Ἀλικαρν. - Τό ὀργίζεσθαι παρ᾽ ἡμῖν ἄχρι τοῦ παύειν τά ἁμαρτήματα περιορισθήσεται. " Ὀργίζεσθε γάρ, φησί, καί μή ἁμαρτάνετε. "

Ἀπολλωνίου. - Τό τῆς ὀργῆς πάθος μή καθομιλούμενον μηδέ θεραπευόμενον, φυσική νόσος γίνεται.

Πλουτάρχ. - Οἱ θυμοί, καθάπερ οἱ κύνες, τυφλά τίκτουσιν ἐγκλήματα.

Οἱ μέν τραχεῖς ἵπποι τοῖς χαλινοῖς· οἱ δέ ὀξεῖς θυμοί, μετάγονται τοῖς λογισμοῖς.

Τό μέν εὔκρατον ὕδωρ τάς φλεγμονάς· ὁ δέ ἐπιεικής λόγος, τάς ὁρμάς διαλύει.

Ὡς γάρ ὁ κακίας τά νέφη, καί ὁ φαῦλος βίος ἐφ᾽ ἑαυτόν ἕλκει λοιδορίας.

Ἀριστοτ. - Ὥσπερ καπνός ἐπιδάκνων τάς ὄψεις, οὐκ ἐᾷ προβλέπειν τό κείμενον ἐν τοῖς ποσίν, οὕτως ὁ θυμός ἐπερχόμενος, τῷ λογισμῷ ἐπισκοτεῖ, καί τό συμβησόμενον ἐξ αὐτοῦ ἄτοπον οὐκ ἀφίησι τῇ διανοίᾳ προβλέπειν.

Οὐχ ὁρᾷς ὅτι τῶν ἐν ὀργῇ διαπραττομένων ἁπάντων ὁ λογισμός ἀποδημεῖ, φεύγων τόν θυμόν ὡς πικρόν τύραννον;

Ὁ θυμός ἐστι πάθος, θηριῶδες μέν τῇ διαθέσει, συνεχές τῇ θλίψει, σκληρόν δέ καί βίαιον τῇ δυνάμει, φόνου αἴτιον, συμφορᾶς σύμμαχον, βλάβης συνεργόν καί ἀτιμίας, καί χρημάτων ἀπώλεια· ἔτι δέ καί φθορᾶς ἀρχηγόν.

(=841=) Εὐήνου.

Πολλάκις ἀνθρώπων ὀργή νόον ἐξεκάλυψε
Κρυπτόμενον, μανίας πολύ χεῖρον.

Φιλήμον.

Μαινόμεθα πάντες ὅταν ὀργιζόμεθα,
Τό γάρ κατασχεῖν ἐπί τῆς ὀργῆς, πόνος μέγας.

Εὐριπίδ.

Αἰδώς γάρ ὀργῆς πλεῖον ὠφελεῖ βροτοῖς.
Ὥσπερ δέ θνητόν καί τό σῶμ᾽ ἡμῶν ἔφυ,
(≡15E_192≡> Οὕτω προσήκει μηδέ τήν ὀργήν ἔχειν
Ἀθάνατον, ὅστις σωφρονεῖν ἐπίσταται.

Ἡροδότ. - Ὡς ἐν τοῖς ὠσί τῶν ἀνθρώπων οὐκ αἰεί ὁ θυμός. Χρηστά μέν γάρ ἀκούσας, τέρψεως ἐμπιπλᾷ τό σῶμα· ὑπεναντία δέ τοῖς τουτέοισιν ἀκούσας, ἀνοιδαίνει.

Ἀῤῥιανοῦ. - Μεγαλόθυμοι πράως εἰσι τινες, ἡσυχῆ καί οἷον ἀοργήτως πράττοντες, ὅσα καί οἱ σφόδρα τῷ θυμῷ φερόμενοι. Φυλακτέον οὖν καί τό τούτων ἀγλέπτημα, ὡς πολύ χεῖρον ὄν τοῦ διατεινόμενον ὀργίζεσθαι. Οὗτοι μέν γάρ ταχύ κόρον τῆς τιμωρίας λαμβάνουσιν· οἱ δέ εἰς μακρόν προτείνουσιν, ὡς οἱ λεπτῶς πυρέττοντες.

Ἀπολλώνοις Δημοκράτ. - Ὁ ὑπέρ μικρῶν ἁμαρτημάτων ἀνυπερβλήτως ὀργιζόμενος, οὐκ ἐᾷ διαγνῶναι τόν ἁμαρτάνοντα, πότε ἔλαττον, πότε μεῖζον ἠδίκησεν.

Σωτίων ἐκ τοῦ Περί ὀργῆς. - Τοῖς σοφοῖς ἀντί ὀργῆς, Ἡρακλείτῳ μέν, δάκρυα· Δημοκρίτῳ δέ γέλως ἐπῄει.

Ὥσπερ πλοῖα γενναῖα, οὐχ ὅσα ἐν εὐδίᾳ πλεῖ, ἀλλ᾽ ὅσα πρός χειμῶνα ἀντέχει καί σώζεται· οὕτω καί ἄνθρωποι ὀργῇ καί κινήσει ἀντέχοντες, μεγάλοι καί ἀνδρεῖοι.

Δημοκρίτ. - Θυμῷ μάχεσθαι μέν χαλεπόν· ἀνδρός δέ τό κρατέειν εὐλογίστου.

Πλάτων. - Ὀργιζόμενός ποτε τῷ οἰκέτη, ἐπιστάντος Ξενοκράτους, Λαβών τοῦτον, ἔφη, μαστίγωσον· ἐγώ γάρ ὀργίζομαι.

Φασί δέ αὐτόν καί ἐπανατεινόμενον τῷ παιδί βακτηρίαν, ἑστάναι χρόνον πολύν μετέωρον ταύτην ἔχοντα· καί τήν αἰτίαν ἐρωτώμενον, φῆσαι κολάζειν τόν ἐξ αὐτοῦ προορμήσαντα θυμόν.

Ναυκράτ. - Ναυκράτης ὁ σοφός, τούς ὀξυθύμους ἔφη παραπλήσιον τοῖς λύχνοις πάσχειν· καί γάρ τούτους πλείονι ἐλαίῳ ἐκκαίεσθαι.

(=844=) Δημώνακτ. - Κόλαζε κρίνων, ἀλλά μή θυμούμενος.

(≡15E_194≡> Μενάνδρου.

Ἀνήρ κακοῦργος πρᾶον ὑπεισελθών σχῆμα,
Κεκρυμμένη πρόκειται παγίς τοῖς πλησίον.
Οὐκ ἔστιν ὀργῆς, ὡς ἔοικε, φάρμακον,
Ἀλλ' ἤ λόγος σπουδαῖος ἀνθρώπου φίλου,
Εἰ καί σφόδρα ἀλγεῖς, μηδέν ἠρεθισμένος,
Πράξεις προπετῶς· ὀργῆς καί ἀλογίστου κρατεῖν,
Ἐν ταῖς ταραχαῖς μάλιστα τόν φρονοῦντα δεῖ.

Θεόγνιδος.

Οὐ δύναμαί σοι, θυμέ, παρέχειν ἄρμενα πάντα.
Μή ἐπί μικροῖς αὐτός ἑαυτόν ὀξύθυμον δείκνυε.

Ἀριστίππ. - Τούς ἀδικήσαντας, μή πράττε δίκας· ἀρκεῖ γάρ αὐτούς ὑπό τῆς ἰδίας ταπεινοῦσθαι κακίας.

Καλόν ἐστι συζῆν γυναικί θυμώδει χάριν ἀσκήσεως. Καί γάρ τούς ἱππέας ἐθίζεσθαι δεῖ τραχέσιν ἵπποις κεχρῆσθαι· τούτων γάρ κρατήσαντες, καί τῶν ἄλλων ῥᾳδίως κρατήσουσιν.

ΛΟΓΟΣ Κ΄.

## Περί σιωπῆς καί ἀποῤῥήτων.

(≡15Ε_196≡> Ματθ. ιβ΄. - Πᾶν ρῆμα ἀργόν, ὅ ἐάν λαλήσωσιν οἱ ἄνθρωποι, ἀποδώσουσι περί αὐτοῦ λόγον ἐν ἡμέρᾳ κρίσως.

Ἰακ. α'. - Ἔστω πᾶς ἄνθρωπος ταχύς εἰς τό ἀκοῦσαι, καί βραδύς εἰς τό λαλῆσαι.

Παροιμ. κα΄. - Ὅς φυλάσσει τό ἑαυτοῦ στόμα, διατηρεῖ ἐκ τῆς θλίψεως τήν ψυχήν αὐτοῦ.

Σιράχ κ' . - Σοφία κεκρυμμένη καί θησαυρός ἀφανής, τίς ὠφέλεια ἐν ἀμφοτέροις;

Σολομ. ιη΄. - Ἀντιλογίαν πραΰνει σιγηρός· ἀγαπῶν δέ ζωήν αὐτοῦ, φείδεται στόματος αὐτοῦ.

Βασιλείου. - Εἰδέναι, ὀφείλομεν ἅ χρή λαλεῖν, καί ἅ χρή σιωπᾶν. Οὐ γάρ πάντα ῥητά τῇ γλώσσῃ τά τοῦ Θεοῦ, ἵνα μή ὁ νοῦς καθάπερ ὀφθαλμός ὅλον τόν ἥλιον θέλων ἀποβλέπειν, ἀπολέσῃ καί ὅ ἔχει φῶς.

Θεολόγου. - Φθέγγου μέν, εἴ τι κρεῖττον σιωπῆς ἔχεις· ἀγάπα δέ ἡσυχίαν, ἔνθα κρεῖττον λόγου σιωπᾷν.

(=845=) Λέγε σιγῆς τι κρεῖσσον, ἤ σιγήν ἔχε.

Χρυσοστ. - Οἱ πολλοί τῶν ἀνθρώπων, ἐπειδάν εἴπωσί τι τῶν ἀποῤῥήτων, παρακαλοῦσι τόν ἀκούοντα καί ὁρκοῦσι μηδενί λοιπόν εἰπεῖν ἑτέρῳ· αὐτόθεν δηλοῦντες, ὅτι πρᾶγμα ἄξιον κατηγορίας ἐποίησαν. Εἰ γάρ ἐκεῖνον μηδενί εἰπεῖν ἑτέρῳ παρακαλεῖς, πολλῷ μᾶλλον σέ πρότερον τούτῳ ταῦτα εἰπεῖν οὐκ ἐχρῆν.

Ἐκ τῶν Γερόντων. - Ἀγάπα τό σιγᾷν ὑπέρ τό λαλεῖν· ἡ σιωπή γάρ θησαυρίζει· τό δέ λαλεῖν διασκορπίζει.

(≡15Ε_198≡> Πρό πασῶν τῶν ἐντολῶν τήν ἡσυχίαν ἐξελέξατο ὁ Θεός· γέγραπται γάρ, Ἐπί τίνα ἐπιβλέψω, ἀλλ᾽ ἤ ἐπί τόν ταπεινόν καί ἡσύχιον;

Ὁ θέλων σωθῆναι, διωξάτω τήν ἀκτημοσύνην καί τήν σιωπήν.

Ἀπολλων. - Πολλήν ἐπιμέλειαν ποιεῖσθαι χρή, περί τοῦ μή λέγειν ἅ μή δεῖ. Παντελῶς γάρ ἀπαιδεύτου τινός ἐστι τό μή δύνασθαι σιωπᾷν, ἀλλ᾽ ἐκλαλεῖν τά μή καλῶς ἔχοντα.

Σοφός ἀνήρ καί σιγῶν τόν Θεόν τιμᾷ, εἰδώς καί διατί σιγᾷ.

Πλουτάρχ. - Ἅπερ ἄν σιωπᾶσθαι βούλει, μηδενί εἴπῃς· ἤ πῶς παρά τινος ἀπαιτεῖς τό πιστόν τῆς σιωπῆς, ὅ μή παρέσχρς σεαυτῷ;

Τό σιωπᾷν οὐ μόνον ἄδιψον, ὥς φησιν Ἱπποκράτης, ἀλλά καί ἄλυπον καί ἀνώδυνον.

Ζήνων. - Ὅτε ξένοι τινές ἐν συμποσίῳ παρόντες φιλοφρονούμενοι Ζήνωνα, προπιόντες αὐτῷ, ἤροντο ἡσυχίαν ἄγοντα, Περί σοῦ δέ τί χρή λέγειν, ὦ Ζήνων, τῷ βασιλεῖ; κἀκεῖνος ἔφη, Ἄλλο μηδέν, ἤ ὅτι πρεσβύτης ἐστίν ἐν Ἀθήναις παρά πότον σιωπᾷν δυνάμενος.

Ἀνάχαρσις. - Οὗτος ἑστιαθείς παρά Σόλωνι, καί κοιμώμενος ὤφθη, τήν μέν ἀριστεράν χεῖρα τοῖς μορίοις, τήν δέ δεξιάν τῷ στόματι

προσκειμένην ἔχων. Ἐγκρατεστέρου γάρ ᾤετο χαλινοῦ δεῖσθαι τήν γλῶτταν.

(=848=) Ἀριστοτέλ. - Ὁ μή εἰδώς σιωπᾶν, οὐκ οἶδε διαλέγεσθαι.

Ὁ αὐτός ἐρωτηθείς, Τί δυσκολώτατόν ἐστιν ἐν τῷ βίῳ, εἶπε, Τῷ σιωπᾷν ἅ μή δεῖ λαλεῖν.

Ἐρωτηθείς, Διά ποίαν αἰτίαν τούς ἄλλους διδάσκων λέγειν, αὐτός σιωπᾷς; ἔφη, Καί γάρ ἡ ἀκόνη αὐτή μέν οὐ τέμνει, τά δέ ξίφη ὀξέα ποιεῖ.

(≡15E_200≡> Ἰσοκράτ. - Δύο ποιοῦ καιρούς τοῦ λεγειν, ἤ περί ὧν οἶσθα σαφῶς, ἤ περί ὧν ἀναγκαῖον εἰπεῖν. Ἐν τούτοις γάρ μόνοις ὁ λόγος τῆς σιγῆς κρείττων· ἐν δέ τοῖς ἄλλοις, ἄμεινον σιγᾷν ἤ λέγειν.

Ἀλλ. Ἀριστ. - Φαύλου ἀνδρός, καθάπερ κυνός σιγηροῦ δεῖ τήν σιγήν, ἤ τήν φωνήν εὐλαβεῖσθαι.

Θεόφραστ. - Θεόφραστος ὁ Περιπατητικός φιλόσοφος, ἐν συμποσίῳ νεανίσκον τινά βλέπων ἡσυχίαν ἔχοντα, εἶπεν· Εἰ μέν ἀπαίδευτος ὤν σιωπᾷς, πεπαιδευμένος ὑπάρχεις· εἰ δέ πεπαιδευμένος, ἀπαιδεύτως σιωπᾷς.

Χάρητ.

Γλώσσης μάλιστα πανταχοῦ πειρῶ κρατεῖν,
Ὅ γάρ γέροντι καί νέῳ τιμήν φέρει,
Ἡ γλῶσσα, σιγήν καιρίαν κεκτημένη.

Ἱέρων. - Τούς ἀπόῤῥητον λόγον ἐκφέροντες ἀδικεῖν ᾤετο, καί πρός οὕς ἐκφέρουσιν. Μισοῦμεν γάρ οὐ μόνον τούς ἐκλαλήσαντας, ἀλλά καί τούς ἀκούσαντας, ἅ μή βουλόμεθα.

Πιττακοῦ. - Ὅ μέλλεις ποιεῖν, μή λέγε· ἀποτυχών γάρ γελασθήσῃ.

Σοφοκλ.

Κλέπτων δ᾽ ὅταν τις ἐμφανῶς ἐφευρεθῇ,
Σιγᾷν ἀνάγκη, κἄν καλόν φέρῃ στόμα.
Αἰδώς γάρ ἐν κακοῖσιν οὐδέν ὠφελεῖ.
Ἡ γάρ σιωπή τῷ λαλοῦντι σύμμαχος.

Ξενοκράτ. - Ξενοκράτης διαιρῶν ἕκαστον μέρος τῆς ἡμέρας εἰς πρᾶξίν τινα, καί τῇ σιωπῇ μέρος ἀπένειμεν.

Ἀλεξάνδρ.

Ὅστις λόγους παρακαταθήκην λαβών
(≡15E_202≡> Ἐξεῖπεν, ἄδικός ἐστι, ἤ ἀκροατής ἄγαν·
Ὁ μέν διά κέρδος, ἄδικος· ὁ δέ τούτου δίχα,
Ἀκροατής· ἴσως δέ γ᾽ εἰσίν ἀμφότεροι κακοί.

Λυκούργου. - Οὗτος πρός τόν εἰπόντα, Διατί Λακεδαιμόνιοι τήν βραχυλογίαν ἀσκοῦσιν; εἶπεν, Ὅτι ἐγγύς ἐστι τοῦ σιγᾷν.

Φιλονίδου. - Κρεῖττον σιωπᾷν ἐστιν, ἤ λαλεῖν μάτην.

Δημοκρ. - Θεασάμενός τινα, πολλά μέν, ἀπαίδευτα δέ διαλεγόμενον, Οὗτος, ἔφη οὐ λέγειν μοι δοκεῖ δυνατός, ἀλλά σιωπᾷν ἀδύνατος.

Σόλων. - Σφραγίζου, τούς μέν λόγους, σιγῇ· τήν δέ σιγήν, καιρῷ.

Σιμωνίδου. - Ἤ σιγήν καίριον ἔχειν δεῖ, ἤ λόγον ὠφέλιμον.

Δημοσθ. - Οὗτος μηδέποτε ἑαυτῷ ἔλεγε μεταμελῆσαι σιγήσαντι· φθεγξαμένῳ δέ, πολλάκις.

(=849=) Ὀνειδίζοντος αὐτῷ τινος, ὅτι τό στόμα δυσῶδες εἶχε· Πολλά γάρ, εἶπεν, αὐτῷ τῶν ἀποῤῥήτων ἐγκατεσάπη.

ΛΟΓΟΣ ΚΑ΄.

## Περί πολυπραγματοσύνης καί ἡσυχίας.

(≡15Ε_204≡> Λουκ. ι΄. - Μάρθα, Μάρθα, μεριμνᾷς καί τυρβάζῃ περί πολλά. Ἑνός δέ ἐστι χρεία· Μαρία δέ τήν ἀγαθήν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ᾽ αὐτῆς.

Α΄Θεσσ.δ΄. - Παρακαλῶ οὖν ὑμᾶς ἀδελφοί, περισσεύειν μᾶλλον καί φιλοτιμεῖσθαι ἡσυχάζειν, καί πράσσειν τά ἴδια, καί ἐργάζεσθαι ταῖς χερσίν ὑμῶν.

Ἰώβ, ια' .- Ἡσυχάσεις, καί οὐκ ἔσται ὁ πολεμῶν σε.

Ἰώβ, λθ΄. - Καταγελῶν πολυοχλίαν πόλεως, μέμψιν φορολόγου οὐκ ἀκούει.

Σιράχ ια΄. - Τέκνον, μή περί πολλά ἔστωσαν αἱ πράξεις σου· ἐάν γάρ πληθύνῃς, οὐκ ἀθῶος ἔσῃ.

Βασιλείου. - Ὥσπερ γάρ τά θηρία εὐκαταγώνιστά εἰσι καταψηχθέντα· οὕτως ἐπιθυμίαι καί ὀργαί καί φόβοι καί λύπαι, τά ἰοβόλα τῆς ψυχῆς κακά, κατευνασθέντα διά τῆς ἡσυχίας, καί μή ἐξαγριαινόμενα τῷ συνεχεῖ ἐρεθισμῷ, εὐκαταγωνιστότερα τῇ δυνάμει τοῦ λόγου γίνεται.

Ἡσυχία οὖν ἀρχή καθάρσεως τῇ ψυχῇ, μήτε γλώσσης λαλούσης τά τῶν ἀνθρώπων, μήτε ὀφθαλμῶν εὐχροίας σωμάτων καί συμμετρίας περισκοπούντων, μήτε ἀκοῆς τόν τόνον τῆς ψυχῆς ἐκλυούσης ἐν ἀκροάσει μελῶν πρός ἡδονήν πεποιημένων· μήτε ῥήμασιν εὐτραπέλων καί γελοιαστῶν ἀνθρώπων, ὅ μαλιστα λύειν τῆς ψυχῆς τόν τόνον πέφυκεν.

Νοῦς μέν γάρ μή σκεδαννύμενος ἐπί τά ἔξω, μηδέ ὑπό τῶν (≡15Ε_206≡> αἰσθητηρίων ἐπί τόν κόσμον διαχεόμενος, ἐπάνεισι μέν πρός ἑαυτόν· δι᾽ ἑαυτοῦ δέ πρός τήν περί Θεοῦ ἔννοιαν ἀναβαίνει· κἀκείνῳ τῷ κάλλει περιλαμπόμενός τε καί ἐλλαμπόμενος, καί αὐτῆς τῆς φύσεως λήθην λαμβάνει, μήτε πρός τροφῆς φροντίδα, μήτε πρός περιβολαίων μέριμναν, τήν ψυχήν καθελκόμενος· ἀλλά σχολήν ἀπό τῶν γηΐνων φροντίδων ἄγων, τήν πᾶσαν ἑαυτοῦ σπουδήν ἐπί τήν κτῆσιν τῶν αἰωνίων ἀγαθῶν μετατίθησι, πῶς κατορθωθῇ αὐτῷ ἡ σωφροσύνη καί ἡ ἀνδρεία· πῶς δέ ἡ δικαιοσύνη καί ἡ φρόνησις, καί αἱ λοιπαί ἀρεταί.

Ἐν τοῖς ἕλκουσι τήν ψυχήν καί ἀσχολίας βιωτικάς ἐμποιοῦσιν, περιγενέσθαι τῆς ἐπιπόνου μελέτης, ἀμήχανον.

Θεολόγου. - Χρή τι καί ἡσυχάζειν, ὥστε ἀθολώττως προσομιλεῖν τῷ Θεῷ· καί μικρόν τι συνάγειν τόν νοῦν ἀπό τῶν πλανώντων.

Τηροῦμεν τάς ἀλλήλων ἁμαρτίας, οὐχ ἵνα θρηνήσωμεν, ἀλλ᾽ ἵν᾽ ὀνειδίσωμεν· οὐδέ ἵνα θεραπεύσωμεν, (=852=) ἀλλ᾽ ἵνα προσπλήξωμεν, καί ἀπολογίαν ἔχωμεν τῶν ἡμετέρων κακῶν τά τῶν πλησίον τραύματα.

Ἡ ἀπράγμων ἡσυχία, τῆς ἐν πράγμασι περιφανείας τιμιωτέρα.

Χρυσοστ. - Κρεῖσσον γάρ ψωμός ἐν ἅλατι μεθ᾽ ἡσυχίας καί ἀμεριμνίας, ἤ παράθεσις ἐδεσμάτων πολυτελῶν ἐν περισπασμοῖς καί μερίμναις.

Οὐ γάρ ἔστιν ἄνθρωπον τούς ἀλλοτρίους πολυπραγμονοῦντα βίους, τῆς οἰκείας ἐπιμεληθῆναί ποτε ζωῆς. Τῆς γάρ σπουδῆς αὐτῷ πάσης εἰς τήν τῶν ἑτέρων πολυπραγμοσύνην ἀναλισκομένης, ἀνάγκη τά αὐτοῦ ἁπλῶς κεῖσθαι καί ἠμελημένως.

Φίλωνος. - Ὁ σοφός ἠρεμίαν καί ἀπραγμοσύνην διώκει, ἵνα τοῖς θείοις θεωρήμασιν ἐν ἡσυχίᾳ ἐπιτύχῃ.

Σοφός μέτοικος καί μετανάστης ἐστίν ἐκ τοῦ πεφυρμένου βίου, πρός τήν εἰρηναίοις πρέπουσαν καί μακαρίαν ζωήν.

(≡15Ε_208≡> Εὐαγρίου. - Ζῆν ἄμεινον ἐπί στιβάδος κατακείμενον καί θαῤῥεῖν, ἤ ταράσσεσθαι χρυσῆν ἔχοντα κλίνην.

Διά τεσσάρων πραγμάτων ἡ ψυχή ἔρημος γίνεται, τοῦ μή ἡσυχάσαι, καί διά τοῦ ἀγαπᾷν τόν περισπασμόν, καί τοῦ ἐπιποθεῖν τήν ὕλην, καί τοῦ κνιπεύσθαι.

Νείλου. - Βίος ἡσύχιος, χρημάτων πολλῶν περιφανέστερος.

Ἐπίπονος τοῖς νεωστί ἀποτασσομένοις ἡ ἡσυχία. Τότε γάρ καιρόν λαβοῦσα ἡ μνήμη, πᾶσαν ἀνακινεῖ τήν ἐγκειμένην ἀκαθαρσίαν, οὐ σχολάζουσα πρότερον τοῦτο ποιεῖν διά τό πλῆθος τῶν περισπώντων πραγμάτων.

Κυρίλλου. - Ἐν θορυβουμένῳ καί ἀγωνίαν ἔχοντι νῷ, οὔτε ἔννοιά τις τῶν καλῶν, οὔτε Θεοῦ χάρις ἐγγίνεται.

Ἀθανασ. - Βέλτιον ἀποροῦντας σιωπᾷν καί πιστεύειν, ἤ ἀπιστεῖν διά τό ἀπορεῖν.

Σωκράτης. - Ἐρωτηθείς, Τίνες ἀταράχως ζῶσιν; Οἱ μηδέν ἑαυτοῖς, εἶπεν, ἄτοπον συνειδότες.

Μοσχίωνος. - Ἀπαλλαγείς ἕνεκα ὀχλήσεως, κέρδος ἡγεῖται ὁ ἄνθρωπος τήν ζημίαν.

Ἀριστίππ. - Λέγοντος αὐτῷ τινος, Διά σέ ἀπόλωλεν ὁ ἀγρός· Οὐκοῦν, ἔφη, κάλλιον δι᾽ ἐμέ τόν ἀγρόν, ἤ διά τόν ἀγρόν ἐμέ.

Δημοσθ. - Λέγοντος αὐτῷ τινος, ὅτι Τοῦ ἀγροῦ ἀμελεῖς, ἑαυτῷ δέ σχολάζεις· Τούτου γάρ, ἔφη, ἐπιμελοῦμαι, δι᾽ ὅν καί τόν ἀγρόν ἐκτησάμην.

(=853=) Σερίνου. - Θαλῆν εἰς τόν οὐρανόν ὁρῶντα, καί ἐμπεσόντα εἰς βάραθρον ἡ θεράπαινα θεωροῦσα, δικαίως παθεῖν ἔφη, Ὡς γάρ τά παρά ποσίν ἀγνοῶν, τά ἐν οὐρανῷ ἐσκόπει.

Ἀριστοτ.- Ἀριστοτέλης τούς τά ἐναργῆ πράγματα πειρωμένους δεικνύναι, ὅμοιον ἔφη ποιεῖν τοῖς λύχνῳ τόν ἥλιον φιλοτιμουμένοις δεικνύναι.

(≡15Ε_210≡> Εὐκλείδης. - Εὐκλείδης ὁ φιλόσοφος, ἐρωτηθείς ὑπό τινος, Ὁποῖοί τινές εἰσιν οἱ Θεοί, καί τίνι χαίρουσι; Τά μέν ἄλλα οὐκ οἶδα, εἶπεν· τούς μέντοι φιλοπράγμονας ὅτι μισοῦσιν, ἀσφαλῶς οἶδα.

Δημόνακτ. - Ὑγιαίνων νοσεῖ πᾶς περίεργος, ὁ τά ἀλλότρια πολυπραγμονῶν.

Ἄλλων ἐξεταζόντων εἰ ὁ κόσμος ἔμψυχος, καί αὖθις εἰ σφραιροειδής, Ὑμεῖς, εἶπεν, περί μέν τοῦ κόσμου πολυπραγμονεῖτε· περί δέ τῆς αὐτῶν ἀκοσμίας οὐ φροντίζετε.

ΛΟΓΟΣ ΚΒ΄.

## Περί πλεονεξίας.

(≡15Ε_212≡> Λουκ. ιβ΄. - Ὁρᾶτε καί φυλάσσεσθε ἀπό τῆς πλεονεξίας· ὅτι οὐκ ἐν τῷ περισσεύειν τινί ἡ ζωή αὐτῷ ἐστιν ἐκ τῶν ὑπαρχόντων αὐτῷ.

Α΄ Κορ. στ΄. - Διατί οὐχί μᾶλλον ἀδικεῖσθε; Διατί οὐχί μᾶλλον ἀποστερεῖσθε; Ἀλλ᾽ ὑμεῖς ἀδικεῖτε καί ἀποστερεῖτε, καί ταῦτα ἀδελφούς· ἤ οὐκ οἴδατε ὅτι ἄδικοι βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν;

Σολμ. α΄. - Οὐκ ἐμπλησθήσεται ὀφθαλμός τοῦ ὁρᾷν, καί οὐ πληρωθήσεται οὖς ἀπό ἀκροάσεως.

Σιράχ δ΄. - Μή ἔστω ἡ χείρ σου ἐκτεταμένη εἰς τό λαβεῖν, καί ἐν τῷ ἀποδιδόναι συνεσταλμένη.

Σιράχ μ΄. - Χρήματα ἀδίκων, ὡς ποταμός ξηρανθήσονται, καί ὡς βροντή μεγάλη ἐν ὑετῷ ἐξηχήσει.

Σιράχ ε. - Μή ἐπίχαιρε ἐπί χρήμασιν ἀδίκοις· οὐδέν γάρ ὠφελήσουσιν ἐν ἡμέρα ἐπαγωγῆς.

Σιράχ ιδ' . - Πλεονέκτου ὀφθαλμός οὐκ ἐμπιπλᾶται ἐν μερίδι.

Σιράχ κα΄. - Ὁ οἰκοδομῶν τήν οἰκίαν αὐτοῦ ἐν χρήμασιν ἀλλοτρίοις, ὡς ὁ συνάγων τούς λίθους αὐτοῦ εἰς τόν χειμάῤῥουν.

(=856=) Βασιλείου. - Ὁ τῶν ἀλλοτρίων ἐρῶν, μετ᾽ οὐ πολύ θρηνήσει τῶν ἰδίων ἀποστερούμενος.

Ὅσα βλέπει ὀφθαλμός, τοσαῦτα ἐπιθυμεῖ ὁ πλεονέκτης. Ὁ ᾅδης οὐκ εἶπεν, Ἀρκεῖ· οὐδέ ὁ πλεονέκτης εἶπέ ποτε, Ἀρκεῖ. Πονηρός ἐν πόλει σύνοικος, πονηρός ἐν ἀγροῖς. Ἡ θάλασσα οἶδεν τά ὅρια αὐτῆς· ἡ νῦξ οὐχ ὑπερβαίνει ὁροθεσίας ἀρχαίας. (≡15Ε_214≡> Ὁ πλεονέκτης οὐκ αἰδεῖται χρόνον, οὐ γνωρίζει ὅρον, οὐ συγχωρεῖ ἀκολουθίᾳ διαδοχῆς· ἀλλά μιμεῖται τοῦ πυρός τήν βίαν· πάντα ἐπιλαμβάνεται, πάντα ἐπινέμεται. Τί εἶναι μετά ταῦτα; Οὐχί τρεῖς σε πήχεις ἀναμένουσιν οἱ πάντες; οὐχί λίθων ὀλίγων βάρος ἀρκέσει πρός φυλακήν δυστήνῳ σαρκί; ὑπέρ τίνος οὖν μοχθεῖς; ὑπέρ τίνος παρανομεῖς;

Βέλτιον ταῖς κατά μικρόν ἐπινοίαις τήν χρείαν παραμυθήσασθαι, ἤ ἀθρόως ἐπαρθέντα τοῖς ἀλλοτρίοις ὕστερον πάντων ὁμοῦ προσόντων ἀπογυμνοῦσθαι.

Ὁ τά ἑταίρου λαμβάνων, καί ἑτέροις διδούς, οὐκ ἠλέησεν, ἀλλ᾽ ἠδίκησεν ἀδικίαν τήν ἐσχάτην. Εἰ μέν γάρ ἐλεεῖς ἐξ ὧν ἀδικεῖς, ἐλέησον οὕς ἀδικεῖς. Εὐσεβής γάρ ἐκεῖνος, οὐχ ὁ πολλούς ἐλεῶν, ἀλλ᾽ ὁ μηδένα ἀδικῶν.

Θεολόγου. - Μίσθωμα πόρνης ἀγνῶς οὐ μερίζεται. Ἔστι γάρ τῆς ἄκρας κακοδαιμονίας, μή ἐν τοῖς ἰδίοις ἰσχυροῖς τό ἀσφαλές ἔχειν, ἀλλ᾽ ἐν τοῖς ἀλλοτρίων σαθροῖς.

Χρυσοστ. - Ὁ γάρ μή δεόμενος τῶν ἀλλοτρίων, ἀλλ᾽ ἐν αὐταρκείᾳ νομίζων εἶναι, πάντων ἐστίν εὐπορώτερος.

Ὁ τήν ἑαυτοῦ μή δυνάμενος στῆσαι ἐπιθυμίαν, κἄν τά πάντων περιβέβληται, πῶς οὗτος ἔστι ἐν εὐπορίᾳ ποτέ;

Πλουτάρχου. - Οἱ ἀπό τῶν αἰσχρῶν κερδῶν εἰς τάς καλάς ἀναλίσκοντες λειτουργίας, ὅμοιόν τι ποιοῦσι, τοῖς ἀπό τῆς ἱεροσυλίας θεοσεβοῦσιν.

Δημοκρίτ. - Πλοῦτος ἀπό κακῆς ἐργασίας ἐπιγινόμενος, ἐπί φανερώτερον ὄνειδος, κέκτηται.

Χρήματα πορίζειν μέν, οὐκ ἀχρεῖον· ἐξ ἀδικίας δέ πάντων κάκιον.

Σωκράτης. - Τούς πλεονέκτας εἴκαζε ταῖς ὄρνισιν· ὧν ἡ μέν καταπίνει, ὅ τι ἄν προστύχῃ, καί ἔστιν ὅταν πνίγεται· αἱ δ᾽ ἄλλαι (≡15Ε_216≡> παρακολουθοῦσιν ἀφελεῖν αὐτό σπεύδουσαι, ἵνα παρά μέρος πνιγῶσιν.

Διογένης. - Ἐρωτηθείς, ποῖα εἴη θηρία χαλεπώτερα, εἶπεν, Ἐν μέν τοῖς ὄρεσιν, ἄρκοι καί λέοντες· ἐν δέ ταῖς πόλεσι, τελῶναι καί συκοφάνται.

Ἀντιφάνους. - Τά μέν πονηρά κέρδη, τάς μέν ἡδονάς ἔχει μικράς, τάς δέ λύπας μακράς.

Εὐριπίδ. -

Ὅστις γάρ ἐπί τό πλεῖον ἔχει πέφυκ' ἀνήρ,
Οὐδέν φρονεῖ δίκαιον οὐδέ βούλεται.
Φίλοις τ' ἄμικτός ἐστι, καί πάσῃ πόλει.

(=857=) Καταλαβών τίς τινα λίθου αὐτοῦ κλέπτοντα, κἀκείνου λέγοντος, ὅτι Οὐκ ἐγίνωσκον ὅτι σοί εἰσιν, ἔφη, Ἀλλ᾽ ᾔδεις ὅτι οὐδέ σοί.

Μεάνδρου.

Πλεονεξία μέγιστον ἀνθρώποις κακόν.
Οἱ μέν θέλοντες προσλαβεῖν τά τῶν πέλας,
Ἀποτυγχάνουσι πολλάκις νικώμενοι·
Τά δ᾽ ἴδια προστιθέασι τοῖς ἀλλοτρίοις.

Πλάτωνος. - Κλοπή μέν χρημάτων, ἀνελεύθερον· ἁρπαγή δέ, ἀναίσχυντον.

Φιλήμ.

Ἐάν οἷς ἔχωμεν, τούτοις μηδέ χρώμεθα,
Ἅ δ᾽ οὐκ ἔχομεν ταῦτα ζητοῦμεν,
Ὧν μέν διά τύχην, ὧν δέ δι᾽ ἑαυτούς ἐσόμεθα ἐστερημένοι.

Εὐριπίδ.
Εἰ δ᾽ εὐτυχῶν τις, καί βίον κεκτημένος,
Μηδέν δ᾽ ὅμως τι τῶν καλῶν πειράσεται·
Ἐγώ μέν αὐτόν οὔποτ᾽ ὄλβιον καλῶ,
Φύλακα δέ μᾶλλον χρημάτων εὐδαίμονα.

ΛΟΓΟΣ ΚΓ΄.

## Περί τιμῆς γονέων καί φιλοτεκνίας.

(≡15Ε_218≡> Δευτ. ε΄στ΄. - Τίμα τόν πατέρα σου καί τήν μητέρα· καί· Ἀγάπα τόν πλησίον σου ὡς ἑαυτόν.

Κολ. γ΄. - Τά τέκνα ὑπακούετε τοῖς γονεῦσιν ὑμῶν κατά πάντα· τοῦτο γάρ ἐστιν εὐάρεστον ἐν Κυρίῳ.

Σιράχ γ΄. - Τέκνον, ἀντιλαβοῦ ἐν γήρᾳ πατρός σου, καί ἐάν ἀπολίπῃ σύνεσιν, συγγνώμην ἔχε· καί μή ἀτιμάσῃς αὐτόν ἐν πάσῃ ἰσχύϊ σου. Ἐλεημοσύνη γάρ πατρός, οὐκ ἐπιλησθήσεται· καί ὡς εὐδία ἐν παγετῷ, οὕτως ἀναλυθήσονταί σου αἱ ἁμαρτίαι.

Σιράχ ζ΄. - Ἐν ὅλῃ καρδίᾳ σου δόξασον τόν πατέρα σου, καίμητρός ὠδῖνας μή ἐπιλάθῃ. Μνήσθητι ὅτι δι᾽ αὐτῶν ἐγεννήθης, καί τί ἀνταποδώσεις αὐτοῖς, καθώς αὐτοί σοί;

Βασιλείου. - Εὐγνώμονες παῖδες μεγάλα ποιοῦσι τά τῶν πατέρων ἐγκώμια.

Θεολόγου. - Ἔργασαι τό καλόν, ὅτι καλόν τῷ πατρί πείθεσθαι· καί εἴ σοι μηδέν ἔσεσθαι μέλοι, τοῦτο αὐτό μισθός, τῷ πατρί χαρίσασθαι.

Ὥς οἰκέτης δούλευσον τοῖς γεννήσασί σε· τί γάρ ἀνταποδώσεις αὐτοῖς, οἷα αὐτοί σοί; ἀντιγεννῆσαι γάρ αὐτούς οὐκ ἔνι.

Οἱ τῆς τῶν παίδων κοσμιότητός τε καί σωφροσύνης ἀμελοῦντες πατέρες, παιδοκτόνοι τυγχάνουσι, καί χαλεπώτερον ἤ ἐκεῖνοι, ὅσῳ καί πρός ψυχήν ἡ ἀπώλεια καί ὁ θάνατος.

(=860=) Κυρίλλου. - Χριστιανῶν ἐνάρετος εὐσέβεια πρώτη τό τιμᾶν (≡15Ε_220≡> τούς γεννήσαντας· τό τούς πόνους ἀμείψασθαι τῶν φύντων, καί πάσῃ δυνάμει τά πρός ἀνάπαυσιν αὐτοῖς ἐνεγκεῖν. Κἄν γάρ τά πλεῖστα τούτοις ἀποδῶμεν, ἀλλ᾽ ἀντιγεννῆσαι τούτους οὔπω δυνησόμεθα.

Εἴκειν ἀναγκαῖον πατράσι τούς παῖδας· ἀλλ᾽ ἔνθαπερ ἄν ὁ τῆς ἀληθείας ἐλαύνῃ λόγος, τιμάσθω Θεός καί νικάτω τά αὐτοῦ καί φιλοστοργίας δύναμιν φυσικήν.

Φίλων. - Ἀξίως οὐδείς τόν Θεόν τιμᾷ, ἀλλά δικαίως μόνον, ὁπότε οὐδέ τοῖς γονεῦσιν ἴσας ἀποδοῦναι χάριτας ἐνδέχεται· ἀντιγεννῆσαι γάρ οὐχ οἷόν τε τούτους.

Ἀριστοτ. - Χρή τόν υἱόν δοῦλον εἰναι τοῦ πατρός ἤ τόν οἰκέτην· ὁ μέν γάρ φύσει τοῦ πατρός δοῦλός ἐστιν· ὁ δέ νόμῳ.

Ἰσοκράτ. - Τοιοῦτος γίνου περί τούς γονεῖς, οἵους ἄν εὔξαι περί σευτόν γενέσθαι τούς σαυτοῦ παῖδας.

Ἀλεξάνδρ. - Ἀλέξανδρος ὁ βασιλεύς ἐρωτηθείς, τίνα μᾶλλον ποθεῖ, τόν πατέρα Φίλιππον, ἤ Ἀριστοτέλην τόν διδάσκαλον, ἔφη, Ὁ μέν γάρ τοῦ γενέσθαι, ὁ δέ τοῦ καλῶς γενέσθαι αἴτιος.

Ὁ αὐτός βαρύ τι ἐπιταττούσης αὐτῷ τῆς μητρός Ὀλυμπιάδος, ἔφη, Ὦ μήτερ, πικρόν γε ἐνοίκιον τῆς ἐνναμηναίου με ἀπαιτεῖς.

Σωκράτης. - Μεμφομένης αὐτῷ τῆς γυναικός αὐτοῦ, ὅτι τόν υἱόν αὐτοῦ οὐ προσίεται ἄχρηστον ὄντα, καί λεγούσης ὅτι ἐξ αὐτοῦ εἴη, ἀποπτύσας· Καί γάρ τοῦτο, εἶπεν, ἐξ ἐμοῦ, ἀλλ' οὐ χρήσιμον.

Μελεσίου. - Οἵους ἄν ἐράνους ἐνέκγῃς τοῖς γονεῦσι, τοιούτους αὐτούς ἐν τῷ γήρᾳ παρά τῶν τέκνων προσδέχου.

Εὐριπίδ. -

Ὅστις δέ τούς τεκόντας ἐν βίῳ σέβει,<br>
Ὅδ᾽ ἐστί καί ζῶν καί θανών Θεοῦ φίλος.<br>
(≡15Ε_222≡> Οὐκ ἔστι παισί τούτου κάλλιον γέρας,<br>
Ἤ πατρός ἐσθλοῦ κἀγαθοῦ πεφυκέναι,<br>
Καί τοῖς τεκοῦσιν ἀξίαν τιμήν νέμειν.

Σόλωνος. - Σόλων ἐφωτηθείς, διατί κατά τῶν τυπτόντων τούς πατέρας ἐπιτίμιον οὐχ ὥρισεν, εἶπεν, ὅτι Οὐχ ὑπέλαβον τοιούτους τινάς ἔσεσθαι.

Πλάτωνος. - Πλάτων θρασυνόμενον ἰδών ινα πρός τόν ἑαυτοῦ πατέρα, Οὐ παύσῃ, μειράκιον, εἶπε, τούτου καταφρονεῖν, δι᾽ ὅν μέγα φρονεῖν ἀξιοῖς;

Ἐκ τῆς Αἰλιανοῦ ἱστορίας. - Πρώτῃ καί ὀγδοηκοστῇ Ὀλυμπιάδι φασί τήν Αἴτνην ῥυῆναι, ὅτε καί Φιλόνομος καί Καλλίας οἱ Καταναῖοι, τούς ἑαυτῶν πατέρας ἀράμενοι, διά μέσης τῆς φλογός ἐκόμισαν τῶν ἄλλων κτημάτων καταφρονήσαντες· ἀνθ᾽ ὧν καί ἀμοιβῆς ἔτυχον τῆς ἐκ τοῦ θείου. Τό γάρ τοι πῦρ (=861=) θεόντων αὐτῶν διέστη, καθ᾽ ὅ μέρος ἐκεῖνοι παραγένοντο.

Ἐκ τῶν Ἐπικτήτου Ἐγχειριδίου καί Ἰσοκρ. - Τούς υἱούς σπούδαζε πεπαιδευμένους μᾶλλον, ἤ πλουσίους καταλιπεῖν.

Θυγάτηρ ἀλλότριον κτῆμα ὑπάρχει τῷ πατρί.

Ὁ αὐτός τοῖς παισί συνεβούλευσεν αἰδῶ δεῖν καταλιπεῖν , ἤ χρυσόν.

Πατρός ὕβρις, ἡδύ φάρμακον· πλέον γάρ ἔχει τό ὠφελοῦν τοῦ δάκνοντος.

Υἱῷ καί θυγατρί μή προσμειδιάσῃς, να μή ὕστερον δακρύσῃς.

**ΛΟΓΟΣ ΚΔ΄.**

## Περί φόβου.

(≡15Ε_224≡> Ματθ. κς΄. - Τό μέν πνεῦμα πρόθυμον· ἡ δέ σάρξ ἀσθενής.

Πράξ. ι΄. - Ἐπ᾽ ἀληθείας καταλαμβάνω, ὅτι οὐκ ἔστι προσωπολήπτης ὁ Θεός, ἀλλ᾽ ἐν παντί ἔθνει ὁ φοβούμενος αὐτόν καί ἐργαζόμενος δικαιοσύνην, δεκτός αὐτῷ ἐστιν.

Παροιμ. ιδ' . - Φόβος Κυρίου πηγή ζωῆς· ποιεῖ δέ ἀκκλίνειν ἐκ παγίδος θανάτου.

Σολομ. ιβ΄. - Τέλος λόγου, τό πᾶν ἄκουε, τόν Θεόν φοβοῦ, καί τάς ἐντολάς αὐτοῦ φύλασσε, ὅτι τοῦτο πᾶς ἄνθρωπος.

Σιράχ μ΄. - Χρήματα καί ἰσχύς ἀνυψοῦσι καρδίαν· καί ὑπέρ ἀμφότερα φόβος Κυρίου.

Βασιλείου. - Ὡς γάρ ὁ ἐμπεπηγότας ἔχων ἐν ἑαυτῷ τούς σωματικούς ἥλους, ἀνενέργητός ἐστιν, ὑπό τῶν ὀδύνων κατεχόμενος· οὕτως ὁ τῷ φόβῳ τοῦ Θεοῦ κατειλημμένος, οὐκ ὀφθαλμῷ χρήσασθαι πρός ἅ μή δεῖ, οὐ χεῖρας κινῆσαι πρός ἀπηγορευμένας πράξεις, οὐχ ὅλως μικρόν ἤ μεῖζον ἐνεργῆσαι παρά τό καθῆκον δύναται, οἷον ὀδύνῃ τινί τῇ προσδοκίᾳ τῶν ἀπειληθέντων συμπεπαρμένος.

Θεολόγου. - Οὐκ ἀπό θεωρίας ἀρξαμένους, εἰς φόβον χρή καταλήγειν. Θεωρία γάρ ἀχαλίνωτος, τάχα ἄν καί κατά κρημνῶν ὤσειεν· ἀλλά φόβῳ στοιχειωμένους καί καθαιρομένους, καί, ἵνα οὕτως εἴπω, λεπτυνομένους, εἰς ὕψος αἴρεσθαι.

(≡15Ε_226≡> Ἕν φοβηθῶμεν μόνον, τό φοβηθῆναι Θεοῦ τι πλέον.
Φύλλων λαγωούς ἐκφοβοῦσιν οἱ κτύποι.
Ἄνδρας δ᾽ ἀνάνδρους αἱ σκιαί τῶν πραγμάτων.

Χρυσοστ. - Οὐ τοσοῦτον ἐργάσασθαι δυνήσεται λόγος, ὅσον ἐργάζεται φόβος. Ὁ γάρ τῆς γεέννης φόβος τόν τῆς βασιλείας ἡμῖν κοσμιεῖ στέφανον. (=864=) Αἰτία ἡμῖν πολλῶν ἀγαθῶν, εἴ βουλοίμεθα, ὁ διάβολος· δεδοικότες γάρ αὐτοῦ τάς ἐπιβουλάς, μήφομεν καί μεμνήμεθα τοῦ Θεοῦ. Ὁ γάρ ἐφεστῶτα τόν ἐχθρόν ὁρῶν, τῷ δυναμένῳ προστρέχει βοηθεῖν.

Καθάπερ ἐν οἰκίᾳ στρατιώτου διηνεκῶς ὡπλισμένου, οὐ ληστής, οὐ τυχωρύχος, οὐκ ἄλλος τις τῶν τά τοιαῦτα κακουργούντων τολμήσει φανῆναι· οὕτω φόβου κατέχοντος ψυχάς, οὐδέν τῶν ἀνελευθέρων παθῶν ἐπεισέρχεται ῥᾳδίως ἡμῖν.

Διδύμου. - Οὐ δυνατόν τόν ἀληθῶς φοβούμενον τόν Θεόν δειλίαν ἔχειν, εἰρημένου τοῦ, Πλήν αὐτοῦ μή φοβοῦ ἄλλον.

Κλίμακος. - Ὥσπερ ἀκτίς ἡλίου δι᾽ ὀπῆς εἰσελθοῦσα ἐν οἴκῳ πάντα φωτίζει, ὡς καί τό λεπτότατον ὁρᾶν, τόν τε κονιορτόν πετόμενον· οὕτω καί φόβος Θεοῦ μετά διακρίσεως ἐν καρδίᾳ γενόμενος, πάντα αὐτῇ τά ἁμαρτήματα ὑποδείκνυσιν.

Σευηριανοῦ. - Ἀρχή σωτηρίας ἀνθρώπων ὁ τοῦ Θεοῦ φόβος, καί ῥίζα πάντων ἐν ἡμῖν ἀγαθῶν ὁ τοῦ Θεοῦ νόμος. Οὔτε δέ Θεοῦ νόμος ἄνευ

φόβου, οὔτε φόβος ἄνευ νόμου. Ὁ μέν γάρ νόμος τῶν ἐπιτεταγμένων ὑπηρέτην ἔχει τόν φόβον· ὁ δέ φόβος τῶν προστεταγμένων δικαστήν ἔχει τόν νόμον.

Βίας. - Βίας ἐρωτηθείς, τί ἄν εἴη τῶν κατά τόν βίον ἄφοβον, εἶπεν, Ὀρθή συνείδησις.

Ἐπικούρ. - Οὐκ ἔστιν ἄφοβον εἶναι, φοβερόν φαινόμενον.

(≡15E_228≡> Δημοκρ. - Οὐ διά φόβον, ἀλλά διά τό δέον, ἀπέχεσθαι χρεών ἁμαρτημάτων.

Εὐριπίδου.

Ἀσύνετος, ὅστις ἐν φόβῳ μέν ἀσθενής,
Λαβών δέ μικρόν τι ψυχῆς φρονεῖ μέγα.

Μενάνδρ.

Εὐήθειά μοι φαίνεται δηλουμένη,
Τό νοεῖν μέν ὅσα δεῖ, μή φυλάττεσθαι δ᾽ ἅ δεῖ.

**ΛΟΓΟΣ ΚΕ΄.**

## Περί τῶν ταχέως μεταβαλλομένων, καί περί μετανοίας.

(≡15E_230≡>Λουκ. θ΄. - Οὐδείς βαλών τήν χεῖρα αὐτοῦ ἐπ᾽ ἄροτρον, καί βλέπων εἰς τά ὀπίσω, εὔθετός ἐστιν εἰς τήν βασιλείαν τῶν οὐρανῶν.

Β΄. Πετ. β΄. - Κρεῖσσόν ἐστι μή ἐπεγνωκέναι τήν ὁδόν τῆς διακαιοσύνης, ἤ ἐπιγνόντα ἐπιστρέψαι ἐκ τῆς παραδοθείσης αὐτῷ ἁγίας ἐντολῆς. Συμβέβηκε δέ αὐτοῖς τό τῆς ἀληθοῦς παροιμίας, Κύων ἐπιστρέψας ἐπί τόν ἴδιον ἔμετον, καί, Ὗς λουσαμένη εἰς κύλισμα βορβόρου.

Παροιμ. ιζ' . - Ἀνήρ εὐμετάβολος γλώσσῃ ἐκπεσεῖται εἰς κακά.

Παροιμ. κστ΄. - Ὥσπερ κύων ὅταν ἐπέλθῃ ἐπί τόν ἑαυτοῦ ἔμετον καί μισητός γένηται, οὕτως (=865=) ἄφρων τῇ ἑαυτοῦ κακίᾳ ἀναστρέψας ἐπί τήν ἑαυτοῦ ἁμαρτίαν.

Σιράχ λδ΄. - Ἄνθρωπος νηστεύων ἐπί τῶν ἁμαρτιῶν αὐτοῦ, καί πάλιν πορευόμενος και τά αὐτά ποιῶν, τῆς προσευχῆς αὐτοῦ τίς εἰσακούεται; καί τί ὠφέλησεν ἐν τῷ ταπεινωθῆναι αὐτόν;

Βασιλ. - Ὁ ἐν προκοπῇ γενόμενος ἀγαθῶν ἔργων, εἶτα παλινδρομήσας πρός τήν ἀρχαίαν συνήθειαν, οὐ μόνον τόν ἐπι τοῖς πεπονημένοις μισθόν ἐζημιώθη, ἀλλά καί βαρυτέρας ἀξιοῦται τῆς κατακρίσεως.

Οἷς εὔκολος πρός μεταβολήν ἡ διάνοια, τούτοις οὐδέν ἀπεικός καί τόν βίον εἶναι μή τεταγμένον.

(≡15E_232≡> Μηδείς ἐν κακίᾳ διάγων, ἑαυτόν ἀπογινωσκέτω, εἰδώς ὅτι γεωργία μέν τῶν φυτῶν τάς ποιότητας μεταβάλλει· ἡ δέ κατ᾽ ἀρετήν τῆς ψυχῆς ἐπιμέλεια δυνατή ἐστι παντοδαπῶν ἀῤῥωστημάτων ἐπικρατῆσαι.

Ἄνθρωποι ταῖς νεφέλαις ἐοίκασι, πρός τάς τῶν πνευμάτων μεταβολάς ἄλλοτε κατ᾽ ἄλλο μέρος τοῦ ἀέρος ἐμφερομέναις.

Οὐ χρόνου ποσότητι, διαθέσει δέ ψυχῆς ἡ μετάνοια κρίνεται.

Θεολόγου. - Δέον αὐμετακινήτους μέν εἶναι πρός τό κρεῖττον ἀπό τοῦ χείρονος, ἀκινήτους δέ πρός τό χεῖρον ἀπό τοῦ βελτίονος.

Οὐχ ἡ μετάθεσις τοῦ κακοῦ τό αἰσχρόν ἔχει· ἀλλ᾽ ἡ τούτου τήρησις τήν ἀπώλειαν.

Τό μή ἁμαρτάνειν ἀναισθήτως, ἀλλ᾽ ἐπιγινώσκειν καί συνορᾶν τό πλημμεληθέν, οὐκ ἔστι μικρόν· ἀλλ᾽ ὁδός τίς ἐστι καί ἀρχή πρός διόρθωσιν ἄγουσα, καί ἐπί τό κρεῖττον μεταβολήν.

Κούφους καί ἀνοήτους τούτους ὑπολαβάνομεν, τούς ῥᾳδίως ἐπ᾽ ἀμφότερα φερομένους, καί μεταῤῥέοντας, καθάπερ αὔρας μεταπιπτούσας, ἤ μεταβολάς καί παλιῤῥοίας Εὐρίπου, ἤ θαλάσσης ἄστατα κύματα.

Χρυσοστ. - Ὁ μετανοήσας ἐφ᾽ οἷς ἔπραξε δεινοῖς, κἄν μή τῶν ἁμαρτημάτων ἀξίαν ἀποδείξηται τήν μετάνοιαν, καί αὐτῆς ταύτης ὅμως ἕξει τήν ἀντίδοσιν.

Εὐαγρίου. - Φυτόν μεταφερόμενον συνεχῶς, καρπόν οὐ ποιεῖ.

Σωκράτ. - Ἀνδριάς μέν ἐπί βάσεως, σπουδαῖος δέ ἀνήρ ἐπί καλῆς προαιρέσεως ἑστώς, ἀμετακίνητος ὀφείλει εἶναι.

**ΛΟΓΟΣ κστ΄.**

## Περί ἁμαρτίας καί ἐξαγορεύσεως.

(≡15E_234≡> Ἰωαν.η΄. - Πᾶς ὁ ποιῶν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας.

Σιράχ. κα΄. - Ὡς ἀπό προσώπου ὄφεως, φεῦγε ἀπό ἁμαρτίας ἐάν γάρ προσέλθῃς, δήξεταί σε. Ὀδόντες λέοντος οἱ ὀδόντες αὐτῆς, καί ἀναιροῦντες ψυχάς ἀνθρώπων.

Πρός Ῥωμ. στ΄. - Μή οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν σώματι, εἰς τό ὑπακούειν ταῖς (=868=) ἐπιθυμίαις αὐτοῦ· μήτε παριστάνετε τά μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ.

Σιράχ κζ' . - Λέων θήρᾳ ἐνεδρεύει, οὕτως ἁμαρτία τούς ἐργαζομένους ἄδικα.

Σιράχ λθ΄. - Ἀγαθά τοῖς ἀγαθοῖς ἐκτίσθη ἀπ᾽ ἀρχῆς, οὕτω καί τοῖς ἁμαρτωλοῖς κακά.

Βασιλ. - Ὥσπερ τῆς τομῆς ἤ τοῦ καυτῆρος, οὐχ ὁ ἰατρός αἴτιος, ἀλλ᾽ ἡ νόσος· οὕτω καί οἱ τῶν πόλεων ἀφανισμοί ἐκ τῆς ἀμετρίας τῶν ἁμαρτανομένων τήν ἀρχήν ἔχοντες, τόν Θεόν ἁπάσης μέμψεως ἀπολύουσιν.

Ἡ ἁμαρτία ὡς μέν ὠδίνεται, ἔχει τινά αἰσχύνην· ἐπειδάν δέ τελεσθῇ, τότε ἀναισχυντοτέρους ποιεῖ τούς ἐργαζομένους αὐτήν.

Ὡς γάρ τάς μελίσσας καπνός φυγαδεύει καί τάς περιστεράς δυσωδία· οὕτω καί τόν φύλακα τῆς ζωῆς ἡμῶν ἄγγελον ἡ πολύδακρυς καί δυσώδης ἀφίστησιν ἁμαρτία.

Ὥσπερ ἡ σκιά τῷ σώματι, οὕτω ταῖς ψυχαῖς αἱ ἁμαρτίαι παρέπονται, ἐναργεῖς τάς πράξεις εἰκονίζουσαι.

Φύσει πρόχειρον ἡ κακία, καί πολύς ἐπί τό χεῖρον ὁ δρόμος.

(≡15Ε_236≡> Εὐζήλωτον μέντοι καί πρόχειρον πρᾶγμα ἡ μοχθηρία· καί οὐδέν οὕτω ῥᾴδιον ὡς τό γενέσθαι κακόν.

Μή ἀπαξιώσῃς ἐξαγορεῦσαί σου τήν ἁμαρτίαν, ἵνα τῇ ἐντεῦθεν αἰσχύνῃ τήν ἐκεῖθεν φύγῃς (ἐπειδή μέρος καί τοῦτο τῆς ἐκεῖσε κολάσεως) καί δείξῃς ὅτι τήν ἁμαρτίαν ὄντως μεμίσηκας, παραδειγματίσας αὐτήν καί θριαμβεύσας, ὡς ἀξίαν ὕβρεως.

Περιβαλοῦ κόπρια, δάκρυα, στεναγμούς, τήν δι᾿ ἐξαγορεύσεως καί ἀτιμοτέρας ἀγωγῆς ἐπανόρθωσιν.

Οὐκ ἔστι τοῖς ἀπελθοῦσιν ἐν ᾅδῃ ἐξομολόγησις καί διόρθωσις. Συνέκλεισε γάρ ὁ Θεός, ἐνταῦθα μέν βίον καί πρᾶξιν· ἐκεῖ δέ, τήν τῶν πεπραγμένων ἐξέτασιν.

Κακία σιωπηθεῖσα, νόσος ὕπουλός ἐστιν ἐν τῇ ψυχῇ.

Θεολόγου. - Θᾶττον γάρ ἄν τις ὀλίγης κακίας μεταλάβοι πλουσίως, ἤ ἀρετῆς βαθείας κατά μικρόν. Ἐπεί καί μέλιτι μέν ἀψίνθιον τάχιστα μεταδίδωσι τοῦ πικροῦ, μέλι δέ οὐδέ τό διπλάσιον ἀψινθίῳ τῆς ἑαυτοῦ γλυκύτητος.

Χρυσοστ. - Τοιοῦτον ἡ ἁμαρτία· πρίν ἤ μέν ἀπαρτισθῆναι, μεθύειν ποιεῖ τόν ἁλόντα· ἐπειδάν δέ πληρωθῇ καί ἀπαρτισθῇ, τότε τά μέν τῆς ἡδονῆς ταύτης ὑπεξίσταται καί σβέννυται· γυμνός δέ ἕστηκε λοιπόν ὁ κατήγορος, τοῦ συνειδότος δημίου τάξιν ἐπέχων (=869=) [ἐπέχοντος] καί καταξαίνων τόν πλημμεληκότα, καί τήν ἐσχάτων ἀπαιτῶν δίκην, καί μολίβδου παντός βαρύτερον ἐπικείμενος.

Ἀπόστηθι τῆς πονηρίας, παῦσαι τῆς κακίας, ἐπιλαβοῦ τῆς ἀρετῆς, καί ὑπόσχου μηκέτι αὐτά ποιεῖν· καί ἀρκεῖ τοῦτο εἰς ἀπολογίαν. Ἐγώ διαμαρτύρομαι καί ἐγγυῶμαι, ὅτι τῶν ἁμαρτανομένων ὑμῶν ἕκαστος, ἄν ἀποστάς τῶν προτέρων κακῶν ὑπόσχηται τῷ Θεῷ μετά ἀληθείας μηκέτι αὐτῶν ἅψασθαι, οὐδέν ἕτερον ὁ Θεός ζητεῖ πρός ἀπολογίαν μείζοντα. Φιλάνθρωπος γάρ ἐστι καί ἐλεήμων· καί καθάπερ ἡ ὠδίνουσα ἐπιθυμεῖ τεκεῖν, οὕτω καί αὐτός ἐπιθυμεῖ τόν ἔλεον ἐκχεῖν τόν ἑαυτοῦ.

(≡15Ε_238≡> Ὥσπερ γάρ σπινθήρ ἐάν φθάσῃ ἐπιλαβέσθαι τινός, πάντα λοιπόν κατανέμεται· οὕτω τῆς ἁμαρτίας φύσις, ἐπειδάν τῶν τῆς ψυχῆς λογισμῶν ἐπιλάβηται, καί μηδείς ᾖ ὁ σβέσων, χαλεπωτέρα λοιπόν καί δυσχείρωτος γίνεται, τῇ τῶν δευτέρων προσθήκῃ εἰς μείζονα καταφρόνησιν ἐπαιρομένη.

Ὥσπερ γάρ ὁ ἐν ἁμαρτήμασιν ὤν, ἑτέρων κατηγορῶν, ἑαυτοῦ πρό ἐκείνων κατηγορεῖ· οὕτω καί ὁ ἐν συμφορᾷ ὤν καί ὀνειδίζων ἑτέρου συμφοράς, ἑαυτόν πρό ἐκείνου ὀνειδίζει.

Καθάπερ οἱ διά νυκτός ἀσελήνου βαδίζοντες τρέμουσι, κἄν μηδείς ὁ φοβῶν παρῇ· οὕτω καί οἱ τήν ἁμαρτάν ἐργαζόμενοι, θαῤῥεῖν οὐκ ἔχουσι, κἄν μηδείς ὁ ἐλέγχων ᾖ.

Ἐπί ἑνός οὐ θέλομεν ἀσχημονῆσαι ἐνταῦθα· ἐπί δέ μυριάδων ἐκεῖ τί ποιήσομεν;

Γρηγ. Νύσσης. - Πολλή πρός τήν κακίαν ἐστίν ἡ εὐκολία, καί ὀξύῤῥοπος ἐπί τό χεῖρον ἡ φύσις.

Κυρίλλου. - Πολλά πταίομεν ἅπαντες. Νοσεῖ γάρ ἡ φύσις τό εἰς ἁμαρτίαν εὔκολον, διά τῶν ἐξ ἀρχῆς εἰσοικισαμένων τό πάθος.

Φίλωνος. - Τῷ μέν ἀγνοίᾳ τοῦ κρείττοντος διαμαρτάνοντι συγγνώμη παρεισέρχεται· ὁ δέ ἐξεπίτηδες ἀδικῶν, ἀπολογίαν οὐκ ἔχει.

Κλήμεντος. - Φοβηθῶμεν οὐχί νόσον τήν ἔξωθεν, (=872=) ἀλλ᾽ ἁμαρτήματα, δι᾽ ἅ ἡ νόσος· καί νόσον ψυχῆς, οὐχί σώματος.

Θεοτίμου. - Ἔοικεν ἡ ἁμαρτία παραβλήματι κωλύοντι τήν εὔνοιαν τοῦ Θεοῦ ἐν ἡμῖν γενέσθαι.

Ἰωσήππου. - Οὐκ ἐκριζωτής τῶν παθῶν, ἀλλ᾽ ἀνταγωνιστής ἐστιν ὁ λογισμός.

Οὔτε πῦρ ἱματίῳ περιστεῖλαι δυνατόν, οὔτε αἰσχρόν ἁμάρτημα χρόνῳ.

Ἀριστοτ. - Οὐ πόῤῥω τοῦ ἀναμάρτητου καθίστησιν ἑαυτόν, ὁ τό ἁμαρτηθέν ἐπιεικῶς ὁμολογήσας.

(≡15Ε_240≡> Πυθαγόρου. - Τά ἁμαρτήματά σου πειρῶ, μή λόγοις ἐπικαλύπτειν, ἀλλά θεραπεύειν ἐλέγχοις.

Δημοσθ. - Ὥσπερ σωματικόν πάθος οὐ κρυπτόμενον οὐδέ ἐπαινούμενον ὑγιάζεται· οὕτως οὐδέ ψυχή κακῶς φρουρουμένη θεραπεύεται.

Μοσχίωνος. - Βέλτιον ὀλιγάκις ὁμολογοῦντα κατορθοῦν, σωφρονεῖν πολλάκις, ἤ ὀλιγάκις ἁμαρτάνειν λέγοντα, πλημμελεῖν πολλάκις.

Ζήνω. - Ζῆθι, ὦ ἄνθρωπε , μή μόνον ἵνα φάγῃς καί πίῃς, ἀλλ᾽ ἵνα τῷ ζῇν πρός τό εὖ ζῆν καταχρήσῃ.

Φαυωρίνου. - Πάθος τί μου προσέπεσε τῇ ψυχῇ, καί τί μέν ἐστιν οὐκ οἶδα. Ἔρωτα δέ αὐτό λέγουσι οἱ μεμυημένοι. Βάσκανε δαῖμον καί ἀλόγιστε, ἀσθενεῖ προσελήλυθας σώματι, φέρειν σε μή δυναμένῳ. Ἐξίσταμαί σου, δαῖμον· παραχωρῶ σου τῆς μάχης· οὐκ εἰμί σου στρατιώτης.

Θεοφράστ. - Ἔρως ἐστίν ἀλογίστου τινός ἐπιθυμίας ὑπερβολή, ταχεῖαν μέν ἔχουσα τήν πρόσοδον, βραδεῖαν δέ τήν ἀπόλυσιν.

ΛΟΓΟΣ ΚΖ΄.

## Περί ἀκρασίας καί γαστριμαργίας.

(≡15Ε_242≡> Λουκ. ς΄. - Οὐαί οἱ ἐμπεπλησμένοι, ὅτι πεινάσετε· οὐαί οἱ γελῶντες, ὅτι πενθήσετε καί κλαύσετε.

Ἰακ. ε΄. - Ἐτρυφήσατε ἐπί τῆς γῆς καί ἐσπαταλήσατε· ἐτρέψατε τάς καρδίας ὑμῶν ὡς ἐν ἡμέρᾳ σφαγῆς.

Παροιμ. κδ' . - Μή ἀπατηθῇς ἐν χορτασίᾳ κοιλίας σου.

Παροιμ. κε΄. - Μέλι εὑρών, τί ἱκανόν φάγε, μή ποτε πλησθείς ἐξεμέσῃς.

Σιράχ. μ΄. - Ἀνήρ βλέπων εἰς τράπεζαν ἀλλοτρίαν, οὐκ ἔστιν ὁ βίος αὐτοῦ ἐν λογισμῷ ζωῆς.

Βασιλείου. - Γαστήρ συναλλάκτης ἐστίν ἀπιστότατος, (=873=) ταμεῖον ἀφύλακτον· πολλῶν ἀποτεθέντων, τήν μέν βλάβην παρακατέχουσα, τά δέ παραδοθέντα οὐ κατέχουσα.

Λίχνη γαστήρ, ἡ ἀεί ἀπαιτοῦσα καί μηδέποτε λήγουσα. Ἡ λαμβάνουσα σήμερον, καί αὔριον λανθανομένη. Ὅταν ἐμπλησθῇ, περί ἐγκρατείας φιλοσοφεῖ· ὅταν διαπνευσθῇ, ἐπιλανθάνεται τῶν δογμάτων.

Φοβήθητι τό ὑπόδειγμα τοῦ πλουσίου. Ἐκεῖνον παρέδωκε τῷ πυρί ἡ διά βίου τρυφή. Οὐ γάρ ἀδικίαν, ἀλλά τό ἀβροδίαιτον ἐγκληθείς, ἀπετηγανίζετο ἐν τῇ φλογί τῆς καμίνου.

Ἐκ γάρ τῆς παχείας τροφῆς καί οἴνου, αἰθαλώδεις τινές ἀναθυμιάσεις ἀναπεμπόμεναι, νεφέλης δίκην πυκνῆς, τάς ἀπό τοῦ ἁγίου Πνεύματος ἐλλάμψεις ἐπί τόν νοῦν διακόπτουσι. Διό καί Μωϋσῆς πρός θεωρίαν Θεοῦ ἀναβαίνων διά τοῦ νοῦ, ἄσιτος (≡15Ε_244≡> καί ἄποτος ἡμερῶν τεσσαράκοντα διετέλεσεν, ἀθόλωτον διαμένειν αὐτῷ τό ἡγεμονικόν διοικούμενος.

Θεολ. - Ἄϋπνός ἐστι καί ἀκοίμητος πρός τήν τοῦ πλείονος ἐπιθυμίαν ἡ ἀνθρωπίνη φύσις.

Δός εἶπε γαστήρ. Ἥν λαβοῦσα φωφρονεῖς,

Δώσω προθύμως· ἥν δέ τοῖς κάτω δίδως

Κόπρον· λάβοις μέν, ἀλλ᾽ ὅμως μή πλουσίαν. Εἰ δ᾽ οὖν κατάσχοις, δώσωμεν καί πλουσίαν.

Ἀκρασία γάρ ἐμοί, πᾶν τό περιττόν καί ὑπέρ τήν χείαν καί ταῦτα, πεινόντων ἄλλων καί δεομένων, τῶν ἐκ τοῦ αὐτοῦ πηλοῦ καί κράματος.

Οὐδέν οὕτω ἐπίμαχόν τε καί φιλόνεικον, ὡς ἡ γαστήρ.

Χρυσοσ. - Φαγών καί πιών καί ἐμπλησθείς, πρόσεχε σεαυτῷ. Ἀπόκρημνος γάρ ἐστιν ὁ τόπος τῆς τρυφῆς.

Ἰω. Κλίμ. - Θλιβομένης κοιλίας ταπεινοῦται καρδία· θεραπευομένης δέ, γαυριᾷ λογισμός.

Νύσσ. - Ὄψον σοι γενέσθω ἔνδεια· καί τό μή ἐπιβάλλειν κόρον τῷ κόρῳ, μηδέ ἀμβλύνειν τῇ κραιπάλῃ ὄρεξιν.

Ῥίζα τῶν περί τόν βίον πλημμελημάτων ἐστίν, ἡ περί τόν λαιμόν ἀσχολία.

Μέχρι τῆς ὑπερώας ἡ τῶν ἡδυσμάτων αἴσθησις τόν ὅρον ἔχει· ἀπό δέ ὑπερώας, ἀδιάκριτος ἡ τῶν ἐμβαλλομένων διαφορά, ὁμοτίμως τά πάντα τῆς φύσεως πρός δυσωδίαν ἀλλοιούσης.

Φίλωνος. - Ἐγκρατείας μέν ἴδιον, ὑγίεια (=876=) καί ἰσχύς· ἀκρασίας δέ, ἀσθένεια καί νόσος γειτνιῶσα θανάτῳ.

Πλουτάρχ. - Ὑγείαν ἔχειν παρά Θεοῦ αἰτοῦνται οἱ ἄνθρωποι· τήν δέ ταύτης δύναμιν παρ᾽ ἑαυτοῖς ἔχοντες, οὐκ ἴσασιν. Ἀκρασίᾳ γάρ τά ἐναντία πράσσοντες, αὐτοί προδόται τῆς ὑγείας γίνονται.

Ὥσπερ ἄλειμμα οὐ τό ἡδύ καλόν, οὐδέ τό μακρόν, ἀλλά τό (≡15Ε_246≡> ὑγιεινόν· οὕτω καί τροφή, οὐχ ἡ ἡδεῖα καλή, οὐδέ ἡ πολλή, ἀλλ᾽ ἡ ὑγιεινή.

Τάχος καί ἔπειξις ἀπέστω τοῦ ἐσθίειν· κυνῶδες γάρ τοῦτο, καί θηρίῳ μᾶλλον ἤ ἀνθρώπῳ πρέπον.

Κάτωνος. - Οὗτος τῆς πολυτελείας καθαπτόμενος, εἶπεν, Ὡς χαλεπόν ἐστι λέγειν πρός γαστέρα, ὦτα μή ἔχουσαν.

Ἀντισθέν. -Ἀντισθένης ἐρωτηθείς, Τί ἐστιν ἑορτή, εἶπε, Γαστριμαργίας ἀφορμή.

Ἐπικτήτου. - Φρόντιζε ὅπως σε μή τά ἐν τῇ γαστρί σιτία πιαίνει, ἀλλ᾽ ἡ ἐν τῇ ψυχῇ εὐφρασία. Ἐπεί τά μέν ἀποσκυβαλίζεται, καί συνεκρεῖ ὁ ἔπαινος· ἡ δέ ψυχή χωρισθεῖσα, διαπαντός ἀκήρατος μένει.

Ἐν ταῖς ἑστιάσεσι, μέμνησο ὅτι δύο ὑποδέχονται· τό τε σῶμα καί ἡ ψυχή· καί ὅ τι ἄν τῷ σώματι δῷς, τοῦτο εὐθύ ἐξέχεας· ὅ τι δ᾽ ἄν τῇ ψυχῇ διαπαντός τηρεῖς.

Διογένης. - Τῶν οἰκιῶν ἔνθα πλείστη τροφή, πολλούς μῦς εἶναι καί γαλάς· καί σώματα δέ τά πολλήν τροφήν δεχόμενα, καί νόσους ἴσας ἐφέλκεσθαι.

Κράτης. - Κράτης ἰδών χρυσῆν εἰκόνα Φρύνης τῆς ἑταίρας ἐν Δελφοῖς ἑστῶσαν, ἀνέκραγεν, ὅτι Τοῦτο τῆς Ἑλλήνων ἀκρασίας τρόπαιον ἕστηκεν.

Ὁ αὐτός νεανίσκον ἰδών ἀθλητικόν οἴνῳ καί κρεοφαγίᾳ καί ἀσκήσει σάρκα πολλήν ὑποτρέφοντα, εἶπεν, Ὦ δαιμόνιε, παῦσαι καθ᾽ ἑαυτοῦ ποιῶν τό δεσμωτήριον ἰσχυρόν.

Θεόγνιδος. -

Πολλῷ τοι πλέονας λιμοῦ κόρος ὤλεσεν ἤδη
Ἄνδρας, ὅσοι μοίρης πλεῖον ἔχειν ἔθελον.

Σωκράτης. - Οὗτος τούς μέν ἀνθρώπους ἔλεγε ζῆν ἵνα ἐσθίωσιν· ἐγώ δέ ἐσθίω ἵνα ζῶ.

**ΛΟΓΟΣ ΚΗ΄.**

## Περί λύπης καί ἀθυμίας.

(≡15Ε_248≡> Ματθ. ε΄. - Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοί παρακληθήσονται.

β΄. Κορ. β. ΄- Τίς ἐστιν ὁ εὐφραίνων με, εἰ μή ὁ λυπούμενος ἐξ ἐμοῦ;

(=877=) Σολομ. - Ὥσπερ σής ἱματίῳ καί σκώληξ ξύλῳ, οὕτω λύπη ἀνδρός βλάπτει καρδίαν.

Σιράχ λη΄. - Ἀπό λύπης ἐκβαίνει θάνατος· καί λύπη καρδίας κάμψει ἰσχύν.

Βασιλείου. - Ὥσπερ οἱ σκώληκες τοῖς ἀπαλωτέροις τῶν ξύλων ἐντίκτονται μάλιστα, οὕτως αἱ λύπαι τοῖς μαλακωτέροις ἤθεσι τῶν ἀνθρώπων ἐμφύονται.

Ὁ λέγων μή πρέπειν τῷ δικαίῳ τήν θλίψιν, οὐδέν ἕτερον λέγει, ἤ μή ἁρμόζειν τῷ ἀθλητῇ τόν ἀνταγωνιστήν.

Θεολόγου. - Φέρει παραμυθίαν ὀδυνομένῳ κοινωνία τῶν στεναγμῶν.

Ἔστι ποτέ ἡδονῆς λύπη τιμιωτέρα, καί κατήφεια πανηγύρεως· καί γέλωτος οὐ καλοῦ, δάκρυον ἐπαινετόν.

Μέγα γάρ τό παρά συναλγούντων φάρμακον. Οἱ γάρ τό ἴσον τοῦ πάθους ἔχοντες, πλέον εἰσίν εἰς παραμυθίαν τοῖς πάσχουσιν.

Χρυσόστ. - καιρός ἀθυμίας, οὐχ ὅταν πάσχωμεν κακῶς, ἀλλ᾽ ὅταν δρῶμεν κακῶς.

Πλουτάρχ. - Ὁδόν μέν τήν λειοτάτην ἐκλέγεσθαι· βίον δέ, τόν ἀλυπότατον.

Ἐπενδύεσθαι δεῖ, τῷ μέν θώρακι, χιτῶνα· τῇ δέ λύπῃ νοῦν.

(≡15Ε_250≡> Σωκράτης. - Ἐρωτηθείς, Τί λύπει τούς ἀγαθούς, εἶπεν, Εὐτυχία πονηρῶν.

Ὁ αὐτός ἐρωτηθείς, Πῶς ἄν τις ἀλύπως διάγει, Τοῦτο ἀδύνατον, εἶπεν· οὐ γάρ ἐστι πόλιν ἤ οἰκίαν οἰκοῦντα καί ἀνθρώπους ὁμιλοῦντα μή λυπεῖσθαι.

Λευκίπ. - Τοῦτο γάρ ἴδιον τῶν ὀφθαλμῶν, ἐν τοῖς μεγάλοις κακοῖς μή ἐκχέειν δάκρυον· ἐν δέ ταῖς μετρίαις συμφοραῖς, ἀφθόνως τά δάκρυα καταῤῥεῖ.

Χαρακλ. Πολλάκις γάρ τό χαρᾶς ὑπερβάλλον, εἰς ἀλγεινόν περιίστησι· καί τῆς ἡδονῆς τό ἄμετρον, ἐπίσπαστον λύπην ἐγέννησε.

Μοσχίων. - Ἕπεσθαι τοῖς τερπνοῖς εἴωθε καί τά λυπηρά.

Δημώνακτ. - Δεῖ ὥσπερ φορτίον τήν λύπην ἀνθέμενον, μή στέοντα (στένοντα) φέρειν.

Χαρικλ. - Οἱ ἄνθρωποι τάφους μέν κατασκευάζουσι καί ἐντάφια ὥσπερ μέλλοντες αὐτοῖς χρῆσθαι· ἀφοβίαν δέ καί ἀλυπίαν τήν περί τοῦ θανάτου ᾗ χρήσονται, οὐ παρασκευάζονται.

Θεοπόμπ. - Εἴ τις πλεῖστα τῶν ἀγαθῶν κεκτημένος μετά τοῦ λυπεῖσθαι διάγει τόν βίον, ἁπάντων ἄν εἴη καί τῶν ὄντων καί τῶν ἐσομένων ἀθλιώτερος.

(=880=) Ἐκ τῶν Ἐπικτήτου, Ἰσοκράτ, Δημοκρ. - Εἰ βούλει ἄλυπον βίον ζῆν, τά μέλλοντα συμβαίνειν ὡς ἤδη συμβεβηκότα λογίζου.

Ἄλυπος ἴσθι, μή τήν ἀπάθειαν, ὡς τά ἀλόγια τῶν ζώων· μηδέ τήν ἀλογίαν, ὡς οἱ ἄφρονες· ἀλλ᾽ ὡς ἐνάρετος, τόν λόγον τῆς λύπης ἔχων παραμύθιον.

Εὐγνώμων ὁ μή λυπούμενος ἐν οἷς οὐκ ἔχει, ἀλλά χαίρων ἐφ᾽ οἷς ἔχει.

Ὅσοι τινές πρός τάς συμφοράς, γνώμῃ μέν ἥκιστα λυποῦνται, ἔργῳ δέ μάλιστα ἀντέχουσιν, οὗτοι καί τῶν πόλεων καί ἰδιωτῶν κράτιστοί εἰσιν,

(≡15Ε_252≡> Ἐπικτήτου. - Ἐρωτηθείς πῶς ἄν τις τόν ἐχθρόν λυπήσῃ, ἔφη, Ἑαυτόν παρασκευάζων βέλτιστα πράττειν.

Τούς ἄφρονας ὁ χρόνος· τούς δέ φρονίμους ὁ λόγος τῆς λύπης ἀπαλλάττει.

Ποσσιδιπ. - Οὐδείς ἄλυπος τόν βίον διήγαγεν, ἄνθρωπος ὤν· οὐδ᾽ ἄχρι τοῦ τέλους ἔμεινεν εὐτυχῶν.

Εὐριπίδ. - Οὐκ ἔστιν εὑρεῖν βίον ἄλυπον ἐν οὐδενί.

**ΛΟΓΟΣ ΚΘ΄.**

## Περί ὕπνου.

(≡15Ε_254≡> Ματθ. κς΄. Μαρ. ιδ΄. Λουκ. κδ΄. - Ἐλθών ὁ Ἰησοῦς, εὗρε τούς μαθητάς αὐτοῦ καθεύδοντας· ἦσαν γάρ οἱ ὀφθαλμοί αὐτῶν βεβαρημένοι, καί λέγει αὐτοῖς, Οὕτως οὐκ ἰσχύσατε μίαν ὥραν γρηγορῆσαι μετ᾽ ἐμοῦ. Κἄν τόν Ἰούδαν θεάσαθε πῶς οὐ καθεύδει. Γρηγορεῖτε οὖν καί προσεύχεσθε.

Α' . Θεσ. ε΄. - Ἆρα οὖν μή καθεύδωμεν ὡς καί οἱ λοιποί, ἀλλά γρηγορῶμεν καί νήφωμεν. Οἱ γάρ καθεύδοντες, νυκτός καθεύδουσι· καί οἱ μεθυσκόμενοι, νυκτός μεθύουσιν· ἡμεῖς δέ ἡμέρας ὄντες, νήφωμεν.

Παροιμ. κγ'.- Ἐνδύεται διεῤῥηγμένα καί ῥακώδη,πᾶς ὑπνώδης.

Σιράχ. λα΄. - Μέριμνα ἀγρυπνίας ἀπαιτήσει νυσταγμόν.

Βασιλείου. -Εὐχαρίστει, ἄνθρωπε, τῷ ἀκουσίως ἡμᾶς διά τοῦ ὕπνου τῆς συνεχείας τῶν πόνων λύοντι, καί ἐκ μικρᾶς ἀναπαύσεως, πάλιν πρός τήν ἀκμήν τῆς δυνάμεως ἐπανάγοντι.

Θεολόγου. - Ἀνήρ ὑπνώδης, εὑρετῆς ὀνειράτων· μύστης γάρ ὕπνος φασμάτων, οὐ πραγμάτων.

Χρυσόστ. - Ὕπνος οὐδέν ἐστιν, ἤ θάνατος πρόσκαιρος, καί ἐφήμερος τελευτή.

(=881=) Γρηγ. Νύσσης. - Ὥσπερ ἐπί τῆς καθύγρου γῆς, ἐπειδάν θερμοτέραις ἀκτῖσιν ἐπιλάμψαι ὁ ἥλιος, ἀτμοί τινες ὀμιχλώδεις ἀπό τοῦ βάθους ἀνέλκονται· ὅμοιόν τι γίνεται καί ἐν τῇ (≡15Ε_256≡> καθ᾽ ἡμᾶς γῇ, τῆς τροφῆς ὑπό τῆς φυσικῆς θερμότητος ἀναζεούσης· ἀνωφερεῖς δέ ὄντες οἱ ἀτμοί κατά φύσιν καί ἀερώδεις, καί πρός τό ὑπερκείμενον ἀναπνέοντες, ἐν τοῖς κατά τήν καεφαλήν γίνονται χώροις.

Φίλων. - Εἰκότως μελέτην θανάτου· σκιάν δέ καί ὑπογραμμόν τῆς αὖθις ἐσομένης ἀναβιώσεως, τόν ὕπνον οἱ τἀληθῆ πεφρονηκότες

ἀπεφήνατο· ἑκατέρων γάρ ἐναργεῖς φέρει τάς εἰκόνας, καί μεθιστᾷ τόν αὐτόν ἐξ ὁλοκλήρου.

Κλήμεντ. - Ὅσα περί ὕπνου λέγουσι, τά αὐτά χρή καί περί θανάτου ἐξακούειν. Ἑκάτερος γάρ δηλοῖ τήν ἀποστασίαν τῆς ψυχῆς· ὁ δέ μᾶλλον, ὁ δέ ἧττον.

Πᾶσι δέ, ὡς ἔπος εἶπειν, διαμαχητέον ὑμῖν πρός τόν ὕπνον, ὡς πλείονα χρόνον τοῦ ζῆν διά τήν ἐγρήγορσιν μεταλαμβανειν.

Ὁ γάρ ὕπνος ὥσπερ τελώνης τόν ἥμισυν ἡμῖν τοῦ βίου συνδιαιρεῖται χρόνον.

Πολλοῦ γε δεῖ μεθ᾽ ἡμέραν καθεύδειν, τοῖς καί τῆς νυκτός τό πλεῖστον εἰς ἐγρήγορσιν ἀποτεμνομένοις.

Δημοκρίτ. - Ἄγρυπνος ἔσο κατά τόν νοῦν· συγγενής γάρ τοῦ ἀληθινοῦ θανάτου ὁ περί τοῦτον ὕπνος.

Οἱ ἡμερήσιοι ὕπνοι σώματος ὄχλησιν, ἤ ψυχῆς ἀδημοσύνην, ἤ ἀργίην ἤ ἀπαιδευσίαν σημαίνουσιν.

Φιλοστράτ. - Οὐδέ γάρ οἱ σώφρονες καί σπουδαῖοι νυστάζουσι, κἄν πόῤῥω τῶν νυκτῶν σπουδάζουσιν. Οὐ γάρ ἔξωθεν αὐτούς ὁ ὕπνος ὥσπερ δεσπότης, ὑβρίσας εἰς τόν αὐχένα δεδουλωμένον ὑπό τοῦ οἴνου· ἀλλ᾽ ἐλεύθεροί τε καί ὀρθοί φαίνονται. Καταδαρθέντες δέ καθαρᾷ τῇ ψυχῇ δέχονται τόν ὕπνον, οὔτε ὑπό τῶν εὐπραγιῶν ἀνακουφιζόμενοι, οὔτε ὑπό κακοπραγίας τινός ἐκτρώσκοντες. Σύμμετρος γάρ πρός ἄμφω ταῦτα ψυχή νήφουσα, καί οὐδετέρου τῶν παθῶν ἥττων· ὅθεν καί καθεύδει ἥδιστα καί ἀλυπότατα, μή ἐξισταμένη τοῦ ὕπνου.

ΛΟΓΟΣ Λ΄.

## Περί μέθης.

(≡15Ε_258≡> Λουκ. κα΄. - Προσέχετε ἑαυτοῖς, μήποτε βαρυνθῶσιν αἱ καρδίαι ὑμῶν ἐν κραιπάλῃ καί μέθῃ καί μερίμναις βιοτικαῖς· καί αἰφνιδίως ὑμῖν ἐπιστῇ ἡ ἡμέρα ἐκείνη.

Ῥωμ. ιγ΄. - Ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν· μή κώμαις καί μέθαις, μή κοίταις καί ἀσελγείαις.

Σολ. ζ' . - Ἀγαθόν πορευθῆναι εἰς οἶκον πένθους, ἤ εἰς οἶκον πότου.

Παροιμ. κγ΄. - Μή ἴσθι οἰνοπότης· πᾶς γάρ μέθυσος πτωχεύσει.

(=884=) Ὅστις ἐστιν ἡδύς ἐν οἴνων διατριβαῖς, ἐν τοῖς ἑαυτοῦ ὀχυρώμασι καταλείψει ἀτιμίαν.

Σιράχ, λα΄. - Ἐν συμποσίῳ οἴνου μή ἔλεγχε τόν πλησίον, καί μή ἐξουδενώσῃς αὐτόν ἐν εὐφροσύνῃ αὐτοῦ.

Βασιλ. - Ὥσπερ γάρ ὕδωρ πολέμιόν ἐστι πυρί, οὕτως ἀμετρία οἴνου λογισμόν κατασβέννυσι σώφρονα.

Μέτρον ἄριστον τῆς τοῦ οἴνου χρήσεως, ἡ χρεία τοῦ σώματος.

Μέθη, Κύριον οὐχ ὑποδέχεται. Πνεῦμα ἅγιον ἀποδιώκει. Καπνός μέν γάρ, φυγαδεύει μελίσσας· χαρίσματα δέ πνευματικά ἀποδιώκει κραιπάλη.

Θεολόγου. - Καί οἱ μέν πένητες, οὕτως· ἡμεῖς δέ ἀνακεισόμεθα λαμπροί λαμπρῶς, ἐπί στιβάδος ὑψηλῆς τε καί μετεώρου, καί τῶν περιττῶν καί ἀψαύστων ἐπιβλημάτων. Καί τοῖς μέν πολύς κόρος καί ὕδατος· ἡμῖν δέ καί μέχρι μέθης οἱ τοῦ οἴνου κρατῆρες· μᾶλλον δέ καί ὑπέρ μέθην τοῖς ἀκολαστοτέροις· (≡15Ε_260≡> καί τόν μέν ἀποπεμψόμεθα τῶν οἴνων, τόν δέ ἐκκρινοῦμεν ὡς ἀνθοσμίαν· περί δέ τοῦ φιλοσοφήσομεν· ζημίαν δέ, εἰ μή προσέσται τῶν ἐγχωρίῳ, καί τῶν ὀμαζομένων ξένων τις, ὥσπερ τύραννος. Δεῖ γάρ ἡμᾶς ἀβρούς καί τῆς χρείας περιττοτέρους εἶναι· ὥσπερ αἰσχυνομένους, εἰ μή κακοί νομιζόμεθα καί δοῦλοι γαστρός, καί τῶν ὑπό γαστέρα.

Χρυσόστ. - Τοῖς ἐν μέθῃ καί ἀκολασίᾳ βιοῦσιν, ἡ ἡμέρα πρός τό τῆς νυκτός μεταστρέφεται σκότος· οὐ τοῦ ἡλίου σβεννυμένου, ἀλλά τῆς ἐκείνων διανοίας σκοτιζομένης τῇ μέθῃ.

Εὐαγρίου. - Ῥώννυσι μέν οἶνος σῶμα· τήν δέ ψυχήν λόγος Θεοῦ.

Πλουτάρχ. - Φθείρεται μέν κόσμος πυρί καί ὕδατ ὁ δέ τῶν ἀκολάστων πλοῦτος, ἔρωτι καί μέθῃ.

Διογέν. - Ἐν συμποσίῳ τινί, πολλού αὐτῷ οἴνου διδομένου, τοῦτο ἐξέχεεν· ἐπεί δέ τινες αὐτόν ἐμέμφοντο, Ἐάν γάρ αὐτόν, ἔφη, ἐκπίω, οὐ μόνον αὐτός ἀπόλλυται, ἀλλά κἀμέ προσαπόλλυσιν.

Μενάνδρ. - Ὕβρις καί οἶνος ἀποκαλύπτειν εἰώθασιν φίλοις τά ἤθη τῶν φίλων.

Ὁ πολύς ἄκρατος, ὀλίγ᾿ ἀναγκάζει φρονεῖν·
Οὐ γάρ τό πλῆθος, ἄν σκοπῇ τις, τοῦ πότου
Ποιεῖ παροινεῖν, τοῦ πιόντος δ᾿ ἡ φύσις.
Χαλεπόν ὅταν τις ὤν πίνῃ πλέον λαλῇ,
Μηδέν κατιδών, ἀλλά προσποιούμενος.

Πυθαγ. - Οὗτος ἔλεγε, Τήν μέθην, μανίας εἶναι μελέτην.

Κλεόστρατ. - Κλεόστρατος πρός τόν εἰπόντα αὐτῷ, Οὐκ αἰσχύνῃ μεθύων, ἔφη, Σύ δέ οὐκ αἰσχύνῃ μεθύοντα νουθετῶν;

Ἐπικτήτου. - Οἱ τέττιγες μουσικοί · οἱ δέ κοχλίαι, ἄφωνοι· χαίρουσι δέ, οἱ μέν ὑγραινόμενοι· οἱ δέ ἀλεαινώμενοι. Ἔπειτα προκαλεῖται, τούς μέν, ἡ δρόσος· καί ἐπί ταύτῃ ἐκδύνουσι· τούς (≡15Ε_262≡> δ᾿ αὖ διεγείρει ἀκμάζων ὁ ἥλιος, καί ἐν αὐτῷ ᾄδουσι. (=885=) Τοιγαροῦν, εἰ βούλει μουσικός καί εὐάρμοστος ὑπάρχειν ἀνήρ, ἡνίκα μέν ἐν τοῖς πότοις ὑπό τοῦ οἴνου δροσισθῇ ἡ ψυχή, τότε αὐτήν μή ἔα προϊοῦσαν μολύνεσθαι· ἀλλ᾿ ἡνίκα ἐν τοῖς συνεδρίοις ὑπό τοῦ λόγου διαπυρωθῇ, τότε θεσπίζειν καί ᾄδειν τά τῇ δικαιοσύνης κέλευε λόγια.

Αἰσχίν. - Κάτοπτρον εἴδους χαλκός ἐστ᾿, οἶνος δέ νοῦ.

Ἀνάχαρσις. - Κιρναμένου κρατῆρος ἐφεστίου, τόν μέν πρῶτον ὑγείας· τόν δέ δεύτερον ἡδονῆς· τόν δέ τρίτον, ὕβρεως· τόν δέ τελευταῖον, μανίας.

Πλάτων. - Μεθύων κυβερνήτης, καί πᾶς παντός ἄρχων, ἀνατρέπει πάντα, εἴτε πλοῖον, εἴτε ἅρμα, εἴτε στρατόπεδον, εἴτε ὅ τί ποτε εἴη τό κυβερνώμενον ὑπ᾽ αὐτοῦ.

Σοφοκλέους. - Σοφοκλής ἐμέμφετο Αἰσχύλῳ, ὅτι μεθύων ἔγραφε. Καί γάρ εἰ τά δέοντα ποιεῖ, φησίν, ἀλλ᾽ οὐκ εἰδώς γε.

Ἐπικτήτ. - Ἡ ἄμπελος τρεῖς βότρυας φέρει, τόν μέν πρῶτον ἡδονῆς· τόν δέ δεύτερον μέθης· τόν τρίτον ὕβρεως

Ἐν οἴνῳ μή πολυλόγει, ἐοιδεικνύμενος παιδείαν· χολερά γάρ ἀποφθέγξῃ.

Μέθυσός ἐστιν ὁ τριῶν πίνων πλέον,
Κἄν μή μεθύσῃ, ὑπερέβης τό μέτρον.

ΛΟΓΟΣ ΛΑ΄.

## Περί παῤῥησίας καί τοῦ ἐλέγχου.

(≡15E_264≡> Ἰωάν. ζ΄. - Οὐδείς ἐν κρυπτῷ τί ποιεῖ, καί ζητεῖ αὐτός ἐν παῤῥησίᾳ εἶναι.

Ἐάν ἡ καρδία ἡμῶν μή καταγινώσκει ἡμῶν, παῤῥησίαν ἔχομεν πρός τόν Θεόν· καί ὅ μέν αἰτοῦμεν, λαμβάνομεν, παρ᾽ αὐτοῦ, ὅτι τάς ἐντολάς αὐτοῦ τηρῶμεν, καί τά ἀρεστά ἐνώπιον αὐτοῦ πιῶμεν.

Σιράχ η΄. - Μή ἐκκαίης, ἄνθρακας ἁμαρτωλούς ἐλέγχων, μή ἐμπρησθῆς ἐν φλογί πυρός ἁμαρτιῶν αὐτῶν.

Παροιμ. ιζ' . - Ἐξουσίαν δίδωσι λόγοις, ἀρχή δικαιοσύνης.

Βασιλείου. - Ἔοικεν ὁ μέν ἔλγχος τέλος ἔχειν τήν διόρθωσιν τῦ ἁμαρτάνοντος· ὁ δέ ὀνειδισμός, ἐπί ἀσχημοσύνῃ τοῦ ἐπταικότος γίνεται.

Ὁ ἐφησυχάζων, καί μή ἐλέγχων τήν ἁμαρτίαν τοῦ ἀδελφοῦ, ἄσπλαγχνός ἐστιν, ὥσπερ ὁ τόν ἰόν ἐναφείς τῷ δηχθέντι ὑπό τοῦ ἰοβόλου.

Θεολόγου. - Πολλῷ βέλτιον βραχέα λυπήσαντα μέγιστα ὠφελῆσαι, ἤ τό πρός ἡδονήν διώκοντα ζημιῶσαι τῷ κεφαλαίῳ.

Μεῖζον γάρ ἀγαθόν τό ἐλεγχθῆναι, τοῦ ἐλέγξαι (=888=) νομίζω· ὅσῳ μεῖζόν ἐστιν, τό αὐτόν ἀπαλλαγῆναι κακοῦ, τοῦ ἄλλον ἀπαλλάξαι.

Χρυσόστ. - Τό μέν ἁπλῶς παῤῥησιάζεσθαι, καί τῶν τυχόντων πολλάκις· τό δέ εἰς τό δέον καί καιρῷ τῷ προσηκόντι, καί μετά τῆς ἁρμοττούσης συμμετρίας καί συνέσεως τῷ πράγματι χρήσασθαι, μεγάλης λίαν καί θαυμαστῆς δεῖται ψυχῆς.

(≡15E_266≡> Ἔννομος ζωή, παῤῥησίας δημιουργός.

Μεγίστη παῤῥησία, τό μή νομίζειν ἔχειν παῤῥησίαν· ὥσπερ οὖν αἰσχύνη μεγίστη, τό δικαιοῦν ἑαυτόν ἐνώπιον Κυρίου· καί μάρτυς τῶν λεγομένων, ὁ Φαρισαῖος καί ὁ Τελώνης.

Φωκίων. - Φωκίωνος ποτέ τοῦ Ἀθηναίου δημηγοροῦντος, οὐ τά πρός χάριν, ἀλλά τά πρός ὠφέλειαν τοῖς Ἀθηναίοις· Δαμάδου δέ τοῦ ῥήτορος εἰρηκότος αὐτῷ, Ἀποκτενοῦσί σε, ὦ Φωκίων, ὁ Δῆμος, ἤν μανῶσι· Σύ δέ, εἶπεν, ἄν σωφρονῶσιν.

Πλουτ. - Οὔτε ἐκ τοῦ κόσμου τόν ἥλιον, οὔτε ἐκ τῆς ὁμιλίας τήν παῤῥησίαν.

Ξεόχαρ. - Ξενόχαρις ὁ φιλόσοφος, ἐρωτηθείς ὑπό τινος περί τινων αἰσχρῶν, καί μή ἀποκρινόμενος· ἐκείνου δέ εἰπόντος, Τί σιωπᾷς; Περί τοιούτων, ἔφη, σοί μέν ἐρωτᾷν, ἐμοί δέ μή ἀποκρίνασθαι πρέπει.

Ἰσοκράτ. - Δίδου παῤῥησίαν τοῖς εὖ φρονοῦσιν, ἵνα περί ὧν ἀμφιγνοίῃς, ἔχῃς τούς συνδοκιμάσοντας.

Δημοκρίτ. - Δημοκρίτου πρεσβεύοντός ποτε ὑπέρ Ἀθημαίων πρός Φίλιππον, καί παῤῥησίᾳ διαλεγομένου· ὁ Φίλιππος, Οὐ φοβοῦ μή τήν κεφαλήν σου, ἔφη, προστάξω ἀφαιρεθῆναι; Οὐ, φησίν· ἐάν γάρ σύ μου ταύτην ἀφέλῃς, ἡ πατρίς μοι αὐτήν ἀθάνατον ἀναθήσει.

Πυθαγ. - Φήσαντός τινος, Λίαν μοι ἐπισκώπτεις, ἔφη; Καί γάρ τοῖς σπληνικοῖς τά μέν δριμαῖα καί πικρά, ὠφέλιμα· τά δέ γλυκαῖα, βλαβερά.

Ἐκ τῶν Ἐπικτ. καί Ἰσοκρ. - Οὔτε μάχαιραν ἀμβλείαν· οὔτε παῤῥησίαν ἄτακτον ἔχειν δεῖ.

Ἐκ τῶν Ἀριστονύμου. - Ὥσπερ τό μέλι τά ἡλκωμένα δάκνει· τοῖς δέ κατά φύσιν ἡδύ ἐστιν· οὕτω καί οἱ ἐκ φιλοσοφίας λόγοι.

Ὅμοιον ἀψινθίου δριμύ, καί λόγου τήν παῤῥησίαν ἐκκόψαι, ὅμοιον.

Ἑρμοῦ καί Ἰσιδώρ. - Ἔλεγχος ἐπιγνωσθείς, ὦ μέγιστε (≡15E_268≡> Βασιλεῦ, εἰς ἐπιθυμίαν φέρει τόν ἐλεγχθέντα, ὧν πρότερον οὐκ ᾔδει.

Σωκράτ. - Τῆς παῤῥησίας ὥσπερ ὀπώρας ἐν καιρῷ ἡ χάρις ἡδεῖα.

(=889=) Εὐσεβίου. - Ἐχθρός τά ἀληθῆ εἰπών, τοῦ προσποιουμένου φίλου πρός χάριν, ἐστί πάντως αἱρετώτερος.

**ΛΟΓΟΣ ΛΒʹ.**

## Περί φιλοπονίας.

(≡15E_270≡> Ἰωάν. εʹ. - Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγώ ἐργάζομαι.

Πράξ. κʹ. - Αὐτοί γινώσκετε, ὅτι ταῖς χρείαις μου καί τοῖς οὖσι μετʾ ἐμοῦ, ὑπηρέτησαν αἱ χεῖρες αὗται. Πάντα ὑπέδειξα ὑμῖν, ὅτι οὕτω κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων.

Σολ. γ' .- Ἀγθῶν πόνων, καρπός εὐκλεής.

Σιράχ ναʹ. - Ἐργάζεσθε τό ἔργον ἡμῶν πρό καιροῦ, καί δώσει τόν μισθόν ὑμῶν ἐν καιρῷ αὐτοῦ.

Βασιλ. - Τό γάρ πόνῳ κτηθέν περιχαρῶς ὑπεδέχθη, καί φιλοπόνως διεφυλάχθη. Ὧν μέντοι πρόχειρος ὁ πορισμός, τούτων ἡ κτῆσις εὐκαταφρόνητος.

Τί τῶν ἀγαθῶν εὔκολον; Τίς καθεύδων τρόπαιον ἔστησε; Τίς τρυφῶν καί καταυλούμενος τοῖς τῆς εὐσεβείας στεφάνοις κατεκοσμήθη; Οὐδείς μή δραμών ἀνείλετο βραβεῖον. Πόνοι γεννῶσι δόξαν, κάματοι προξενοῦσι στεφάνους.

Θεολ. - Γενναιότερον ἐκ τοῦ παθεῖν τό φιλόσοφον, ὥσπερ ψυχρῷ σίδηρος, οὕτω τοῖς κινδύνοις στομούμενον.

Χρυσόστ. - Πανταχοῦ διά δισκολίας καί πόνων τοῖς ἀνθρώποις πέφυκε τά χρήσιμα παραγίνεσθαι.

Φίλωνος. - Ὁ μέν τόν πόνον φεύγων, φεύγει τά ἀγαθά· ὁ δέ τλητικῶς καί ἀνδρείως ὑπομένων τά δυσκαρτέρητα, σπεύδει πρός μακαριότητα.

(≡15Ε_272≡> Ἰσοκρ. - Γύμναζε σαυτόν πόνοις ἑκουσίοις, ἵνα δόξῃς καί τούς ἀκουσίους ὑπομένειν.

Καρκίν. -

Οὐδείς ἔπαινον ἡδοναῖς ἐκτήσατο·

Οὐδείς ῥάθυμος εὐκλεής ἀνήρ·

Ἀλλ᾽ οἱ πόνοι τίκτουσι τήν εὐανδρίαν.

Φιλίσκ. - Οὐκ ἔστιν, ὦ μάταιε, σύν ῥᾳθυμίᾳ τά τῶν πονούντων μή πονήσαντας λαβεῖν.

Εὐαγρίου. - Ἄτοπόν ἐστιν διώκοντα τάς τιμάς, φεύγειν τούς πόνους, δι᾽ ὧν αἱ τιμαί.

Πλουτ. - Ὥσπερ ὄργανον ἄνεσιν καί ἐπίτασιν λαμβάνον ἡδύ γίνεται, οὕτω καί βίος.

Νικίου. - Οὗτος φιλόπονος ἦν, ὥστε πολλάκις ἐρωτᾷν τούς οἰκέτας εἰ λέλουται, ἤ εἰ ἠρίστηκεν.

Ἀρχιμήδ. - Ἀρχιμήδην τῇ σανίδι προσκείμενον ἀποσπῶντες βίᾳ οἱ θεράποντες, εἴληφον· ὁ δέ, καί ἐπί τοῦ σώματος ἀληλιμμένου διέγραφε τά σχήματα.

(=892=) Δημοσθ. - Ἐρωτηθείς ὑπό τινος, Πῶς τῆς ῥητορικῆς περιεγένετο, ἔφη, Πλέον ἔλαιον οἴνου δαπανήσας.

Ἐκ τῶν Δημοκρίτ. καί Ἰσοκράτ᾽. - Γύμναζε τοῖς μέν πόνοις, τό σῶμα, τήν δέ ψυχήν γενναίως ὑπομένειν τούς κινδύνους.

Ὁ αὐτός ἐρωτηθείς ὑπό τινος, τίνι οἱ φιλόπονοι τῶν ῥᾳθύμων διαφέρουσιν, εἶπεν, ὡς οἱ εὐσεβεῖς τῶν ἀσεβῶν, ἐλπίσιν ἀγαθαῖς.

Ὁ αὐτός ἰδών νεανίαν φιλοπονοῦντα, ἔφη, Κάλλιστον ὄψον τῷ γήρατι ἀρτύεις.

Δημοκρίτ. - Οἱ ἑκούσιοι πόνοι, τήν τῶν ἀκουσίων ὑπομονήν ἐλαφροτέραν παρασκευάζουσιν.

**ΛΟΓΟΣ ΛΓ΄.**

## Περί ὅρκου.

(≡15E_274≡> Ματθ. ε΄. - Λέγω ὑμῖν μή ὀμόσαι ὅλως, μήτε ἐν τῷ οὐρανῷ, ὅτι θρόνος ἐστί τοῦ Θεοῦ, μήτε ἐν τῇ γῇ, ὅτι ὑποπόδιόν ἐστι τῶν ποδῶν αὐτοῦ.

Ἰακ. ε΄. - Πρό πάντων δέ, ἀδελφοί μου, μή ὀμνύετε· μήτε τόν οὐρανόν μήτε τήν γῆν, μήτε ἄλλον τινά ὅρκον· ἔστω δέ ὑμῶν τό, Ναί, ναί, καί τό, Οὔ, οὔ.

Σολομ. ιδ΄. - Ἀδίκως ὤμοσαν ἐν δόλῳ καταφρονήσαντες ὁσιότητος. Οὐ γάρ ἡ τῶν ὀμνυομένων δύναμις, ἀλλ᾿ ἡ τῶν ἁμαρτανόντων δίκη, ἐπεξέρχεται ἀεί τήν τῶν ἀδίκων παράβασιν.

Σιράχ κγ΄. - Ὥσπερ οἰκέτης ἐξεταζόμενος ἐνδελεχῶς, ἀπό μώλωπος οὐκ ἐλαττωθήσεται· οὕτως ὁ ὀμνύων καί ὀνομάζων Θεόν διαπαντός ἄνθρωπος, ἀπό ἁμαρτίας οὐ καθαρισθήσεται.

Σιράχ κγ΄. - Ἀνήρ πολύορκος πλησθήσεται ἀνομίας, καί οὐκ ἀποστήσεται ἀπό τοῦ οἴκου αὐτοῦ μάστιξ.

Πιστούμενος τό ψεῦδος διά τῶν ὅρκων, κακόν ἐμπόρευμα τῆς ἀπανθρωπίας τήν ἐπιορκίαν προσκτᾶται.

Βασιλ. - Αἰσχρόν γάρ παντελῶς καί ἀνόητον ἑαυτοῦ κατηγορεῖν, ὡς ἀναξίου πίστεως, καί τήν τῶν ὅρκων ἀσφάλειαν ἐπιφέρεσθαι.

(=893=) Θεολ. -- Ὁ μέν γάρ εὐορκῶν, τυχόν ἄν ποτε καί παρασφαλείη· ὁ δέ μή ὀμνύων, τόν τῆς ἐπιορκίας κίνδυνον διαπέφευγε.

Ὁ νόμος φησίν, Οὐκ ἐπιορκήσῃς· σύ δέ Οὐδέ ὀμῇ τήν (≡15E_276≡> ἀρχήν, οὐ μικρόν οὐ μεῖζον· ὡς τοῦ ὅρκου τήν ἐπιορκίαν τίκτοντος.

Χρυσόστ. - Οἱ συκοφάνται τό ψεῦδος πιπράσκουσιν· ἀλλήλους ψευδόμενοι τούς ὅρκους ἀνήλωσαν, εἰς τό ὀμνύειν, καί μόνον, τόν Θεόν ἐπιστάμενοι.

Σωκράτης. - Δεῖ γάρ τούς ἀγαθούς ἄνδρας, τρόπον ὅρκου πιστότερον φαίνεσθαι παρεχομένους.

Ὅρκον ἐπακτόν προσδέχου διά δύο προφάσεις· ἤ σεαυτόν αἰτίας ἀπολύων, ἤ φίλους ἐκ μεγάλων κινδύνων διασώζων.

Ἕνεκεν χρημάτων μηδαμῶς Θεόν ὀμόσῃς· μηδ᾿ ἄν εὐορκεῖν μέλλεις· δόξεις γάρ, τοῖς μέν ἐπιορκεῖν, τοῖς δέ φιλοχρημάτως ἔχειν.

Ἀμφίδος.

Ὅστις γάρ ὀμνύοντι μηδέν πείθεται,

Αὐτός ἐπιορκεῖν ῥᾳδίως ἐπίσταται.

Οἱ πολλοί τοῖς ἀνθρώποις τό εὐόρκους εἶναι παραινοῦσιν· ἐγώ δέ καί τήν ἀρχήν μηδ᾿ εὐπετῶς ὀμνῦναι ὅσιον ἀποφαίνομαι.

Εὐσεβίου. - Τρόπου καλοκαγαθίαν, ὅρκου δεῖ. Πιστοτέραν ἔχειν.

**ΛΟΓΟΣ ΛΔ΄.**

## Περί κενοδοξίας·

(≡15E_278≡> Ἰωάν. ι΄. - Δόξαν παρ᾿ ἀλλήλων λαμβάνοντες, τήν δόξαν τήν παρά μόνου Θεοῦ οὐ ζητεῖτε.

Γαλ. ε' . - Μή γενώμεθα κενόδοξοι, ἀλλήλους προκαλούμενοι.

Παροιμ. ιβ΄. - Κρείσσων ἀνήρ ἐν ἀτιμίᾳ δουλεύων ἑαυτῷ, ἤ ὁ τιμήν ἑαυτῷ περιθείς καί προσδεόμενος ἄρτου.

Σιράχ α' . - Μή ἐξύψου σεαυτόν, ἵνα μή πέσῃς, καί ἐπάγῃς τῇ ψυχῇ σου ἀτιμίαν.

Σιράχ ι΄. - Μισητή ἐναντίον Κυρίου καί ἀνθρώπων ἡ κενοδοξία.

Κενόδοξοί εἰσιν οἱ πλουτίζοντες ἑαυτούς, μηδέν ἔχοντες.

Βασιλ. - Κενόδοξός ἐστιν, ὁ ψιλῆς ἕνεκεν τῆς ἐν κόσμῳ δόξης ποιῶν τι ἤ λέγων.

Τῷ ὄντι θεραπευόμενα τά ὑπερήφανα ἤθη, ἑαυτῶν ὑπεροπτικώτερα πέφυκε γίνεσθαι.

Ὁμοίως γάρ ἐστι χαλεπόν ἔν τε δυσκολίαις πραγμάτων ἀταπείνωτον τήν ψυχήν διασώσασθαι, καί ἐν ταῖς ὑπερηφανείαις μή ἐπαρθῆναι.

Θεολ. - Μέγα τοῖς ἀνθρώποις ἡ κενοδοξία πρός ἀρετήν ἐμπόδιον.

(=896=) Τό οἴεσθαι, τοῦ εἶναι τό πλεῖστον ἀφαιρεῖται.

Ῥᾷστον ἑαυτόν ἀπατᾷν καί οἴεσθαι εἶναί τι, οὐδέν ὄντα, ὑπό τῆς κενῆς δόξης φυσώμενον.

(≡15Ε_280≡> Αἰσχρόν μικρῶν κρατοῦντα, φυσᾶσθαι μέγα.

Μή φρόνει τῶν κακῶν φαίνεσθαι κρείττων·

Λυποῦ δέ τῶν ἀγαθῶν ἡττώμενος.

Χρυσόστ. - Εἰκότως ἄρα εἴρηται παρά τῶν παλαιῶν κενοδοξία. Διάκενος γάρ ἐστιν, ἔνδον οὐδέν ἔχουσά τι χρήσιμον· ἀλλ᾽ ὥσπερ τά προσωπεῖα, δοκεῖ μέν εἶναι λαμπρά καί ἐπέραστα, κενά δέ ἔνδοθέν ἐστι· Διό καί τῶν σωματικῶν ὄψεων εὐπρεπέστερα ὄντα, οὐδένα οὐδέποτε πρός τόν ἔρωτα ἰδεῖν ἔπεισε τόν ἑαυτῶν· οὕτω, μᾶλλον δέ ἀθλιώτερον, καί ἡ παρά τῶν πολλῶν δόξα.

Γρηγ. Νύσ. - τό ἐπί πλούτῳ κομπάζειν, ἤ γενέσει σεμνύνεσθαι, ἤ πρός δόξαν ὁρᾷν, ἤ δοκεῖν ὑπέρ τόν πέλας εἶναι, δι᾽ ὧν αἱ ἀνθρώπιναι πληροῦνται τιμαί, ταῦτα πάντα καθαίρεσις τῆς ἀνθρωπίνης τιμῆς καί ὄνειδος γίνεται.

Φίλων. - Τῶν πολιτικῶν ἐάν τάς ὕλας ἀφέλῃς, κενόν τύφον εὑρήσεις νοῦν οὐκ ἔχοντα.

Εὐαγρ. - Χαλεπόν διαφυγεῖν τόν τῆς κενοδοξίας δαίμονα· ὅ γάρ ποιήσῃς καθαιρήσων αὐτήν, τοῦτο ἀρχή σοι κενοδοξίας γενήσεται.

Ἰωάν. Κλίμ. - Βδελύττεται ἥλιον κλέπτης· ὑπερήφανος δέ, πρᾳεῖς ἐξουδενώσει.

Σωκράτ. - Τούς μέν κενούς ἀσκούς, τό πνεῦμα διΐστησι· τούς δέ ἀνοήτους ἀνθρώπους τό οἴημα.

Διογένης. - Ὁ τύφος ὥσπερ ποιμήν, οὗ θέλει τούς πολλούς ἄγει.

Ἀλεξάνδρ. - Ἀλέξανδρος νοσήσας μακράν νόσον, ὡς ἀνέῤῥωσεν, οὐδέν, ἔφη, διατιθέναι χεῖρον· ὑπέμνησε γάρ ἡμᾶς ἡ νόσος, μή μέγα φρονεῖν θνητούς ὄντας.

Φιλιστίων.

Ἐάν ἴδης πονηρόν εἰς ὕψος αἰρόμενον,
Λαμπρῷ τε πλούτῳ καί τύχῃ γαυρούμενον,
(≡15Ε_282≡> Ὀφρῦν τε μείζω τῆς τύχης καθηρκότα,
Τούτου τάχιον μεταβολήν προσδόκα.
Ἐπαίρεται γάρ μεῖζον, ἵνα καί μεῖζον πέσῃ.

Μενάνδρου. - Ὦ τρισάθλιοι ἅπαντες οἱ φυσῶντες ἐφ᾽ ἑαυτούς μεγάλα· αὐτοί γάρ οὐκ ἴσασιν ἀνθρώπου φύσιν.

Ἀριστοτ. - Ἀριστοτέλης θεασάμενος νεανίσκον κατωφρυωμένον, Νεανίσκε, ἔφη, οἷος μέν δοκεῖς αὐτός εἶναι, ἐγώ γενοίμην· οἷος δέ τῇ ἀληθείᾳ ὑπάρχεις, τοιοῦτοί μου οἱ ἐχθροί γένοιντο.

Ὁ αὐτός κατανοήσας μειράκιον ἐπί πολυτελείᾳ τῆς χλαμύδος σεμνυνόμενον, Οὐ παύσῃ , ἔφη μειράκιον ἐπί προβάτου σεμνυνόμενος ἀρετῇ.

(=897=) Ἡρακλ. - Ἡράκλειτος ὁ φυσικός, οἴησιν ἔλεγεν ἐγκοπήν προκοπῆς.

ΛΟΓΟΣ ΛΕ΄.

## Περί ἀληθείας καί ψεύδους.

(≡15Ε_284≡> Ἰωαν. γ΄. - Ὁ ποιῶν τήν ἀλήθειαν, ἔρχεται πρός τό φῶς, ἵνα φανερωθῇ τά ἔργα αὐτοῦ, ὅτι ἐν Θεῷ εἰσιν εἰργασμένα.

Ἐφ. δ΄. - Ἀποθέμενοι ψεῦδος, λαλεῖτε ἀλήθειαν ἕκαστος μετά τοῦ πλησίον αὐτοῦ, ὅτι ἐσμέν ἀλλήλων μέλη.

Παροιμ. ι΄. - Ὅς ἐρείδεται ἐπί ψεύδεσιν, οὗτος ποιμανεῖ ἀνέμους· ὁ δ᾽ αὐτός διώξεται ὄρνεα πτερωτά.

Σιράχ κζ΄. - Πετεινά πρός τά ὅμοια αὐτοῖς καταλύει. Καί ἀλήθεια εἰς τούς ἐργαζομένους αὐτήν ἐπανήξει.

Σιράχ κζ' . - Πετεινά πρός τά ὅμοια αὐτοῖς καταλύει. Καί ἀλήθεια εἰς τούς ἐργαζομένους ὄρνεα πτερωτά.

Βασιλείου. - Οὔτε ἐν δικαστηρίοις, οὔτε ἐν ταῖς ἄλλαις πράξεσιν, ἐπιτήδειον τό ψεῦδος, τοῖς τήν ὀρθήν ὁδόν καί ἀληθῆ προελομένοις τοῦ βίου.

Τοῦ Θεολόγου. - Τό μέν ἀληθές ἕν, τό δέ ψεῦδος, πολυσχιδές.

Χρυσόστ. - Οὐδεμιᾶς δεῖται βοηθείας ἡ τῆς ἀληθείας ἰσχύς· ἀλλά κἄν μυρίους ἔχῃ τούς σβεννύντας αὐτήν, οὐ μόνον ἀφανίζεται, ἀλλά καί (=900=) δι᾽ αὐτῶν τῶν ἐπηρεάζειν ἐπιχειρούντων, φαιδροτέρα καί ὑψηλοτέρα ἄν εἴη, τῶν εἰκῇ κοπτόντων ἑαυτούς καγελῶσα.

Εὐαγρίου. - Τό σιγᾷν τήν ἀλήθειαν, χρυσόν ἐστι θάπτειν.

Ἰσιδώρου Πηλουσ. - Τό ψευδές ἐν πρώτοις λεχθέν πλείονα πίστιν ἔχει παρά τήν ἐν δευτέρῳ λόγῳ δεικνυμένην ἀλήθειαν.

(≡15E_286≡> Σευηριανοῦ. - Τό ψεῦδος ὅταν θέλῃ πιστευθῆναι, ἐάν μή πήξῃ θεμέλιον δοκούσης ἀληθείας, οὐ πιστεύεται.

Θαλῆς. - Θάλης ὁ Μελήσιος ἐρωτηθείς ὑπό τινος, Πόσον ἀπέχει τό ψεῦδος τοῦ ἀληθοῦς, Ὅσον, ἔφη, ὀφθαλμοί τῶν ὤτων.

Πλουτάρχου. - Τό μέν ἴσον ζυγῷ· τό δέ ἀληθές, τῷ ἐκ φιλοσοφίας λόγῳ κρίνεται.

Ὁδοῦ καί ἀληθείας χαλεπόν ἀποπλανηθῆναι.

Χαρικλ. - Καλόν γάρ ποτε καί τό ψεῦδος, ὅταν ὠφελοῦν τούς λέγοντας, μηδέν καταβλάπτει τούς ἀκούοντας.

Γηρίνου. - Καθάπερ τό τοῦ ἡλίου φῶς οὐκ ἔστι θεάσασθαι ἀσθενεῖ καί ἀδυνάτῳ τῇ ὄψει, οὕτω, καί ἔτι μᾶλλον τήν ἀλήθειαν οὐκ ἔστιν ἰδεῖν ἀσθενεῖ καί ἀδυνάτῳ τῇ διανοίᾳ.

Ἐκ τῶν Ἐπικτήτου καί Ἰσοκράτους. - Μηδέν τῆς ἀληθείας τιμιώτερον ἔστω· μηδέ φιλίας ἐκλογή ἐκτός παθῶν διακειμένη, οἷς τό δίκαιον συγχέεται καί σκοτίζεται.

Αἰσώπ. - Αἴσωπος ἐρωτηθείς, Τί ὄφελος τοῖς ψευδομένοις ἐκ τοῦ ψεύδους, ἔφη, Τό κἄν ἀληθῆ λέγουσι μή πιστεύεσθαι.

Πλάτων. - Πλάτων μέν ἥδιστον εἶναι τῶν ἀκουσμάτων τήν ἀλήθειαν ἔλεγε· Πολέμων δέ πολύ ἥδιον τοῦ ἀκούειν τό λέγειν εἶναι τ᾽ ἀληθῆ.

Μενάνδρου. - Κρεῖσσον ἑλέσθαι ψεῦδος, ἤ ἀληθές κακόν.

**ΛΟΓΟΣ Λστ΄.**

## Περί θανάτου.

(≡15E_288≡> Ἰωαν. ια΄. - Ὁ πιστεύων εἰς ἐμέ, κἄν ἀποθάνῃ, ζήσεται· καί πᾶς ὁ ζῶν καί πιστεύων εἰς ἐμέ, οὐκ ἀποθάνῃ εἰς τόν αἰῶνα.

Α΄. Θεσ. δ΄. - Οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, περί τῶν κεκοιμημένων, ἵνα μή λυπεῖσθε, καθώς καί οἱ λοιποί οἱ μή ἔχοντες ἐλπίδα.

Σολομ. δ΄. - Τελειωθείς ἐν ὀλίγῳ, ἐπλήρωσε (901) χρόνους μακρούς· ἀρεστή γάρ ἐν Κυρίῳ ἡ ψυχή αὐτοῦ, διά τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας.

Σιράαχ λ' . - Κρείσσων θάνατος ὑπέρ ζωήν πικράν, ἤ ἀῤῥώστημα ἔμμονον.

Σιράχ λη΄. - Τέκνον, ἐπί νεκρῷ κατάγαγε δάκρυα, καί ποίησον πένθος κατά τήν τάξιν αὐτοῦ ἡμέραν μίαν καί δύο, χάριν διαβολῆς, καί παρακλήθητι λύπης ἕνεκα. Γνῶθι γάρ ὅτι οὐκ ἔστιν ἐπάνοδος, καί τοῦτον γάρ οὐκ ὠφελήσεις, καί σαυτόν κακώκεις. Ἀπό γάρ λύπης ἐκβαίνει θάνατος.

Βασιλείου. - Ὥσπερ γάρ οἱ ἐν τοῖς πλοίοις καθεύδοντες, αὐτομάτως ὑπό τοῦ πνεύματος ἄγονται, κἄν αὐτοί μή αἰσθάνωνται· ἀλλ᾽ ὁ δρόμος

αὐτούς πρός τό τέλος ἐπείγει· οὕτω καί ὑμεῖς τοῦ χρόνου τῆς ζωῆς ἡμῶν παραῤῥέοντος, οἱονεί τινι κινήσει συνεχεῖ, καί ἀπαύστῳ, πρός τό οἰκεῖον ἕκαστος πέρας τῷ λανθάνοντι δρόμῳ τῆς ζωῆς ἡμῶν κατεπειγόμεθα.

Ὁ μέν ἐν τῷ βίῳ τυγχάνων, οὔπω μακαριστός διά τό ἄδηλον τῆς ἐκβάσεως· ὁ δέ συμπληρώσας τά ἐπιβάλλοντα, καί ἀναντιῤῥήτῳ τέλει τήν ζωήν κατακλείσας, οὗτος ἤδη ἀσφαλῶς μακαρίζεται

(≡15E_290≡> Οὐδείς μετά τό λυθῆναι τήν πανήγυριν πραγματεύεται, οὐδέ μετά τούς ἀγῶνας παρελθών στεφανοῦνται· οὐδέ μετά τούς πολέμους ἀνδραγαθεῖ.

Θεολόγου.

Παντί βροτῷ θνήσκοντι πᾶσα γῆ τάφος.

Πᾶν γάρ τό ἐκ γῆς γῆ τε καί εἰς γῆν πάλιν.

Χρυσόστ. - Εἰ πόλιν ἐκ πόλεως ἀμειβοῦντες, τοῦ χειραγωγοῦντος δεόμεθα· πολλῷ μᾶλλον ἡ ψυχή, τῆς σαρκός ἀπάρασα, καί πρός τήν μέλλουσαν μεθισταμένη ζωήν, τῶν ὁδηγησόντων δεήσεται.

Καθάπερ σῶμα ψυχοῤῥαγοῦν καί ἐγγύς ὤν τελευτῆς, μυρίας ἀπιστᾶται κακώσεις· καί οἰκίας μελλούσης καταπίπτειν, πολλά προπίπτειν εἴωθεν, καί ἀπό τῆς ὀροφῆς, καί ἀπό τῶν τοίχων· οὕτω καί τῆς οἰκουμένης ἐγγύς καί ἐν θύραις ἐστίν ἡ συντέλεια, καί διά τοῦτο τά μυρία διέσπαρται πανταχοῦ κακά.

Ἀριστοτ. - Ἐκ τοῦ βίου κράτιστόν ἐστιν ὑπεξελθεῖν ὡς ἐκ συμποσίου, μήτε διψῶντα, μήτε μεθύοντα.

Ὁ ἐν νόσῳ διαθήκας γράφων, παραπλήσια πάσχει, τοῖς χειμῶνι θαλαττίῳ εὐτρεπίζειν ἀρχομένοις τά τῆς νηός ὅπλα

Σωκράτ. - Αἱροῦ καλῶς τεθνάναι μᾶλλον, ἤ ζῆν αἰσχρῶς.

(=904=) Κλητάρχου. - Κρεῖττον ἀποθανεῖν, ἤ δι᾽ ἀκρασίας ψυχήν ἀμαυρῶσαι.

Μοσχίωνος. - Ταῖς νόσοις ὁ θάνατος ἀλλήλαις ἐπικαταλαμβανούσαις, οὐδ᾽ αὐτός παρεῖναι ἀναβάλλεται.

Ἐκ τῶν Φαβωρίν. - Ἀριστείδης ὁ δίκαιος ἐρωτηθείς, Πόσον ἐστί χρόνον ἄνθρωπον καλόν ζῆν, ἔφη, Ἕως ἄν ὑπολάβῃ τό τεθνάναι τοῦ ζῆν κρεῖττον εἶναι.

Ἄμασις. - Ἄμασις ὁ τῶν Αἰγυπτίων βασιλεύς, φίλῳ ἀποβαλόντι (≡15E_292≡> υἱόν, γράφων παραμυθητικόν, εἶπεν, Εἰ ὅτε οὐδέπω ἦν οὐκ ἐλύπου, μηδέ νῦν ὅτι οὐκ ἔτι ἔστι λυπηθῇς.

Διογένης. - Διογένης ὁ Κυνικός ὀδυρομένου τινός ἐπειδή ἐπί ξένης ἤμελλε τελευτᾷν, εἶπε , Τί ὀδύρῃ, ὦ μάταιε, πανταχόθεν γάρ ὁδός ἡ αὐτή εἰς ᾅδου.

Ἐχρῆν μέν ἡμᾶς σύλλογον ποιουμένους, τόν φῦντα θρηνεῖν εἰς ὅσ᾽ ἔρχεται κακά· τόν δ᾽ αὖ θανόντα καί πόνων πεπαυμένον, χαίροντας, εὐφημοῦντας, ἐκπέμπειν δόμων.

Ἐπικούρ. - Πρός μέν τ᾽ ἄλλα δυνατόν ἀσφάλειαν πορίσασθαι· χάριν δέ θανάτου πάντες ἄνθρωποι πόλιν ἀτείχιστον οἰκοῦμεν.

Μουσωνίου. - Οὐκ ἔστι τήν ἐνεστηκυῖαν ἡμέραν καλῶς βιῶναι, μή προθέμενον αὐτήν ὡς ἐσχάτην βιῶσαι.

Πολυαίνου. - Ἐπί τοῖς ἀποθνήσκουσι μή λυποῦ· ἀναγκαῖον γάρ· ἀλλ᾽ ἐπί τοῖς αἰσχρῶς τελευτῶσιν.

Δημοκρίτ. - Οὗτος νοσήσας καί ληθαργῷ περιπεσών, ὡς ἀνένηψεν, Οὐδέν με, ἔφη, ἐξαπατήσει ἡ φιλοζωΐα· καί ἐξήγαγεν ἑαυτόν τοῦ βίου.

Μενάνδρου.

Τρισάθλιόν γε καί ταλαίπωρον φύσει.

Πολλῶν τε μεστόν ἐστι τό ζῆν φροντίδων.

Ψυχήν σώματος ἀναγκαιότερον ἰᾶσθαι. Τοῦ γάρ κακῶς ζῆν, τό τεθνάναι κρεῖσσον.

Σοφοκλ.

Τύμβῳ γάρ οὐδείς πιστός ἀνθρώπων φίλος.

Φεῦ τοῦ θανόντος, ὡς ταχεῖα τοῖς βροτοῖς

Χάρις διαῤῥεῖ, καί προδοῦσ᾽ ἁλίσκεται.

Βίας. - Βίας ἐπικαλουμένου τινός τόν θάνατον ἐπί τέκνων ἀπωλείᾳ, ἔφη, Τί καλόν καλεῖς, ἄνθρωπε; οὐκ ἄν μή καλέσῃς ἥξει;

(≡15Ε_294≡> Οὗτος θεασάμενος μάχαιραν ἐῤῥιμμένην, ἔφη, Τίς σε ἀπώλεσεν, ἤ τίνα σύ.

Ὁ αὐτός ἐρωτηθείς, Ποῖος τῶν θανάτων κακός, ἔφη, Ὁ ἀπό τῶν νόμων ἐπαγόμενος.

Σωκράτης. - Σωκράτης καταδικασθείς ὑπό τῶν Ἀθηναίων κατακριμνησθῆναι, τῆς γυναικός Ξανθίππης κλαιούσης καί λεγούσης, Ὦ Σώκρατες, ὡς ἀδίκως ἀποθνήσκεις, εἶπε, Σύ οὖν ἐβούλου με δικαίως ἀποθανεῖν;

Ὁ αὐτός εἰπόντος αὐτῷ τινός, Οἱ Ἀθηναῖοί σου θάνατον ἐψηφίσαντο, ἔφη, Πρό αὐτῶν δέ ἡ φύσις.

(=905=) Ὁ αὐτός ἐρωτηθείς, Τίνα ἐστίν ἐν ᾅδου; εἶπεν· Οὔτε ἐγώ πεπόρευμαι, οὔτε τῶν ἐκεῖσέ τινι συντετύχηκα.

Σέξτου. - Οἰκείων, ζώντων μέν, ποιοῦ ἐπιμέλειαν· ἀπογενομένων δέ, δεῖ τά σώματα τῇ γῇ συμμεμίχθαι· τοῦτο γάρ καί ὅσιον· οὐ γάρ συνθάπτεται ψυχή τῷ σώματι. Μάτην οὖν ὁ πολύς πόνος περί τάς ταφάς.

Ἀναξαγ. - Δύο διδασκαλίας εἶναι οἶμαι θανάτου, τόν τε πρό τοῦ γενέσθαι χρόνον, καί τόν ὕπνον.

Ἐκ τῶν Φιλιστίωνος γνωμῶν. - Καυσιανοί τούς μέν γεννωμένους θρηνοῦσι, τούς δέ τελευτήσαντας μακαρίζουσι.

ΛΟΓΟΣ ΛΖ΄.

## Περί εἰρήνης καί πολέμου.

(≡15Ε_296≡> Λουκ. ι΄. - Εἰς ἥν δ᾽ ἄν οἰκείαν εἰσέρχησθε, πρῶτον λέγετε· Εἰρήνη τῷ οἴκῳ τούτῳ· καί ἐάν ᾖ ἐκεῖ υἱός εἰρήνης, ἐπαναπαύσεται ἐπ᾽ αὐτόν ἡ εἰρήνη ὑμῶν.

β΄Κορ. ιγ΄. - Εἰρηνεύετε, ἀδελφοί, καί ὁ Θεός τῆς εἰρήνης καί τῆς ἀγάπης ἔσται μεθ᾽ ὑμῶν.

Παροιμ. ιζ΄. - Κρεῖσσον ψωμός μεθ᾽ ἡδονῆς ἐν εἰρήνῃ, ἤ οἶκος πολλῶν ἀγαθῶν μετά μάχης.

Σιρ. κε΄. - Ἐν τρισίν ὡραΐσθην καί ἀνέστην ὡραία ἐναντίον Κυρίου καί ἀνθρώπων· ὁμόνοια ἀδελφῶν, καί εἰρήνη τοῦ πλησίον, καί γυνή καί ἀνήρ ἑαυτοῖς συμπεριφερόμενοι.

Βασιλείου. - Ὅσον ἐστί τό τῆς εἰρήνης ἀγαθόν, τί χρή λέγειν πρός ἄνδρας υἱούς τῆς εἰρήνης; Οὐδέν γάρ οὕτως ἴδιον Χριστιανοῦ, ὡς το εἰρηνοποιεῖν· διότι καί τόν ἐπ᾽ αὐτῷ μισθόν μέγιστον ἡμῖν ὁ Κύριος ἐπηγγείλατο.

Θεολόγου. - Κρείσσων ἐπαινετός πόλεμος, εἰρήνης χωριζούσης Θεοῦ.

Χρυσοστ. - Ὁ ἐπαυξάμενος εἰρήνην ἅπασι, τόν πόλεμον τῶν παθῶν ἐξέβαλε, καί λιμένος εὐδιωτέραν τήν ψυχήν κατεσκεύασεν.

Νύσσης. - Ὥσπερ γάρ ὑγείας ἐπιλαβούσης νόσος ἐξαφανίζεται, καί φωτός φανέντος οὐχ ὑπολείπεται σκότος· οὕτως καί τῆς εἰρήνης ἐπιφανείσης, λύεται πάντα τά ἐκ τοῦ ἐναντίου συνιστάμενα πάθη.

Δημοσθ. - Δεῖ τούς ὀρθῶς πολέμῳ χρωμένους, οὐκ ἀκολουθεῖν τοῖς πράγμασιν, ἀλλ᾽ αὐτούς ἔμπροσθεν εἶναι τῶν πραγμάτων.

(≡15E_298≡> Πόλεμος ἔνδοξος, εἰρήνης αἰσχρᾶς αἱρετώτερος.

Ἡροδότ. - Οὐδείς γάρ οὕτως ἀνόητός ἐστιν (ἤ) ὅστις πόλεμον πρό εἰρήνης αἱρέεται.

Μενάνδρου.

Εἰρήνη γεωργόν κἀν πέτραις τρέφει καλῶς.<br>
Πόλεμος δέ, εἰ κἀν πεδίῳ, κακῶς ἔφυ.

Ἀριστοφ.

Εἰρήνη βαθύπλουτε καί ζευγάριον βοϊκόν!<br>
Εἰ γάρ ἐμοί παυσαμένῳ τοῦ πολέμου γένοιτο<br>
(=908=) Σκάψαντ᾽ ἀποκλᾶσαι, καί λουσαμένῳ διελκύσαι<br>
Τῆς τρυγός, ἄρτον λιπαρόν καί ῥάφανον φέροντι.

Εὐριπίδ.

Σοφόν γάρ εὐβούλευμα τάς πολλάς χέρας·<br>
Νικᾷ γάρ· σύν ὄχλῳ δ᾽ ἀμαθία πλέον κακόν.

ΛΟΓΟΣ ΛΗ΄.

## Περί ἐλπίδος.

(≡15E_300≡> Ἐμβλέψατε εἰς τά πετεινά τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν, οὐδέ θερίζουσιν, οὐδέ συνάγουσιν εἰς ἀποθήκας, καί ὁ Πατήρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά.

Ῥωμ. η΄. - Ἐλπίς βλεπομένη, οὐκ ἔστιν ἐλπίς· ὅ γάρ βλέπει τις, οὐκ ἐλπίζει. Εἰ δέ ὅ οὐ βλέπομεν, ἐλπίζομεν, δι᾽ ὑπομονῆς ἀπεκδεχόμεθα.

Σολ. ιστ΄. - Ἀχαρίστου ἐλπίς, ὡς χειμέριος πάχνη τακήσεται, καί ῥυήσεται ὡς ὕδωρ ἄχρηστον.

Σολ. ε΄. - Ἐλπίς ἀσεβοῦς, ὡς φερόμενος χνοῦς ὑπό ἀνέμου, καί ὡς καπνός ὑπό ἀνέμου διαλυθείς, καί ὡς μνεία καταλύτου μονοημέρου διωδεύθη.

Σιράχ β΄. - Ἐμβλέψατε εἰς τάς ἀρχαίας γενεάς, καί ἴδετε, τίς ἤλπισεν ἐπί Κύριον καί κατησχύνθη, ἤ τίς ἐνέμεινεν ἐν τῷ φόβῳ αὐτοῦ, καί ὑπερεῖδεν αὐτόν.

Βασιλείου. - Ὁ ἐπ᾽ ἄνθρωπον ἐλπίζων, ἤ ἐπ᾽ ἄλλο τι τῶν κατά τόν βίον μετεωριζόμενος, οὐ δύνατι εἶπεῖν· Ἐπί σέ, Κύριε, ἤλπισα, Παράγγελμα γάρ ἐστι μή ἐλπίζειν ἐπ᾽ ἄρχοντας.

Ἐπαινῶ τόν εἰπόντα, τάς ἐλπίδας εἶναι γρηγορούντων ἐνύπνια.

Θεολόγου. - Ὅταν μεγάλα ἐλπίσαντες ἀθρόως τοῖς ἐλπισθεῖσιν ἐντύχωμεν, ἐλάττω τῆς δόξης ὁρᾶται τά φαινόμενα.

(≡15Ε_302≡> Μή σφόδρα θαῤῥεῖν, μηδ᾽ ἀπελπίζειν ἄγαν.

Τό μέν γάρ ἐκλύει· τό δέ ἀνατρέπει.

Ἅ γάρ τις ὡς πεισόμενος δέδοικε, ταῦτα πέπονθε κἄν μή πάθῃ.

Πολλοῖς πρός ὅρμοις εὐπλοοῦν ἔδυ σκάφος.

Πολλοί προσωρμίσθησαν ἐκ τρικυμίας.

Μήτε ἀθυμῶν ἀπελπίσης, εὐημερίαν, μήτε καλῶς πράττων ἀθυμίαν.

Ἕν ἐστιν ἐν τοῖς οὖσι τό μόνιμον, ἡ πρός Θεόν ἐλπίς· τά δέ ἄλλα πάντα, οὐχί ἐστι τῇ φύσει, ἀλλά νομίζεται.

Χρυσοστ. - Ἀμήχανον τοῦ τέλους ἐκπεσεῖν, τόν ὅλῃ διανοίᾳ ἐπί τόν Θεόν ἐλπίζοντα, καί τά παρ᾽ ἑαυτοῦ πάντα εἰσφέροντα.

Γρηγ. Νύσ. - Τῶν προδοκωμένων ἀγαθῶν ἡ θλίψις ἄνθος ἐστί. Διά οὖν τό καρπόν, καί τό ἄνθος δρεψώμεθα.

Νείλου. - Τό ἀπροσδόκητον κακόν θορυβεῖ πάντως ἐπελθόν· τό δέ προδοκηθέν εὐτρεπῆ πρός τήν πεῖραν εὑρόν τόν λογισμόν, κουφότερον ποιεῖ τό δεινόν.

(=909=) Προκοπίου σοφιστοῦ. - Τό ἐλπισθέν ἀγαθόν εἰς τοὐναντίον περιπεσόν, ἀπαραμύθητον ἔχει τό πάθος.

Πλουτάρχ. - Οὔτε ναῦν ἐξ ἑνός ἀγκυρίου, οὔτε βίον ἐκ μιᾶς ἐλπίδος ὁρμιστέον.

Στάσιμοί εἰσιν αἱ τῶν πεπαιδευμένων ἐλπίδες, ὡς ἐν κιμένι τῷ λογισμῷ ὁρμοῦσαι.

Αἱ μέν τῆς ἀρετῆς ἐλπίδες, ἴδιαί εἰσι τῆς ψυχῆς· αἱ δέ τῆς κακίας, νόθοι.

Ταυτόν ἐστιν ἐξ ἀσθενοῦς ἀγκυρίου σκάφος ὁρμεῖν, καί ἐκ φαύλης γνώμης ἐλπίδα.

Σωκράτ. - Αἱ πονηραί ἐλπίδες, ὥσπερ οἱ κακοί ὁδηγοί, ἐπί ἁμαρτήματα ἄγουσιν.

Οὔτε γυνή χωρίς ἀνδρός, οὔτε ἐλπίς ἀγαθή χωρίς πόνου γεννᾷ τι χρήσιμον.

(≡15E_304≡> Λευκίππ. - Τά γάρ ἡδέα, κἄν μή παρῇ, τέρπει ταῖς ἐλπίσιν

Τό γάρ ἐλπισθέν, ἅπαξ ἐξήρηται τῆς ψυχῆς· καί τό μηδαμόθεν ἔτι προσδοκώμενον, ἀπαλλαγήν παρασκευάζει τοῖς κάμνουσιν.

Χαρικλ. - Ἡ γάρ εἰς τό μήπω λεχθέν ἔπειξις τοῦ λόγου, τό ὁλόκληρον τῶν ἤδη λεχθέντων παραιρεῖται.

Λευκίππης. - Ὁ μέν γάρ τοῦ κινδύνου φόβος, ἐθορύβει τάς τῆς ψυχῆς ἐλπίδας· ἡ δέ ἐλπίς τοῦ τυχεῖν, ἐκάλυπτεν ἡδονῇ τόν φόβον· οὕτω καί ἐλπίζον ἐφοβεῖτο, καί ἔχαιρε τό λυπούμενον.

**ΛΟΓΟΣ ΛΘ΄.**

## Περί γυναικῶν.

(≡15E_306≡> Ἰωαν. δ΄. - Λέγει αὐτῇ ὁ Ἰησοῦς· Ἐγώ εἰμι ὁ λαλῶν σοι. Καί ἐπί τοῦτο ἦλθον οἱ μαθηταί αὐτοῦ, καί ἐθαύμασαν ὅτι μετά γυναικός ἐλάλει.

Α΄ Τιμ. β΄. - Γυνή ἐν ἡσυχίᾳ μανθανέτω ἐν πάσῃ ὑποταγῇ· γυναικί δέ διδάσκειν οὐκ ἐπιτρέπω, οὐδέ αὐθεντεῖν ἀνδρός.

Παροιμ. ε΄. - Μή πρόσεχε φαύλῃ γυναικί· μέλι γάρ ἀποστάζει ἀπό χειλέων γυναικός πόρνης, ἥ πρός καιρόν λιπαίνει σοι φάρυγγα· ὕστερον μέντοι πικρότερον χολῆς εὑρήσεις.

Παροιμ. κε' . Ὥσπερ σκώληξ ἐν ξύλῳ, οὕτως ἄνδρα ἀπόλλυσι γυνή κακοποιός.

Παροιμ. κα΄. - Κρεῖσσον οἰκεῖν ἐν ἐρήμῳ, ἤ μετά γυναικός μαχίμου καί γλωσσώδους καί ὀργίλου.

Σιρ. κε΄. - Συνοικῆσαι λέοντι καί δράκοντι εὐδόκησαι, ἤ συνοικῆσαι μετά γυναικός πονηρᾶς.

(=912=) Βασιλ. - Αἱ πονηραί τῶν γυναικῶν διαθέσεις, τάς ἀσθενεῖς ψυχάς τῶν συνοικούντων καταβαπτίζουσιν.

Θεολόγου. - Αἱ τῶν γυναικῶν ἀφρονέσταται, ἀποροῦσαι κάλλους οἰκείου, πρός τά χρώματα φεύγουσι· καί εἰσίν, ὡς ἄν εἴποιμι, κοσμίως θεατριζόμεναι, δι᾽ εὐσχημοσύνην ἀσχήμονες, καί δι᾽ αἶσχος αἰσχρότεραι.

Χρυσοστ. - Ὁ ἔχων γυναῖκα πονηράν, γινωσκέτω ὅτι ἤδη τούς μισθούς τῶν ἀνομιῶν αὐτοῦ ἐκομίσατο.

Δεινόν πενιχροτέραν λαβεῖν γυναῖκα, δεινόν εὐπορωτέραν. Τό μέν γάρ εἰς τήν οὐσίαν ἔβλαψε, τό δέ, εἰς αὐθεντίαν καί ἐλευθερίαν, τόν ἄνδρα.

(≡15E_308≡> Κλήμεντ. - Ἀνύποπτον εἰς διαβολήν δείκνυσι γυναῖκα, τό μή καλλωπίζεσθαι, μηδέ μήν κοσμεῖσθαι, παρά τοῦ πρέποντος.

Σέξτου. - Ἐπί γυναικί πονηρᾷ καλόν σφραγίς.

Δημοκρίτ. - Ὑπό γυναικός ἄρχεσθαι, ὕβρις ἄν εἴη ἔσχατα.

Σόλωνος. - Σόλων ἐρωτηθείς ὑπό τινος, εἰ γήμῃ, ἔφη· Ἐάν μέν αἰσχράν γήμῃς, ἕξεις ποινήν· εἰ δ᾽ ὡραίαν, ἕξεις κοινήν.

Διογένης. - Κοινολογουμένας γυναῖκας θεασάμενος, ἔφη, Ἀσπίς παρ᾽ ἐχίδνης φάρμακον δανείζεται.

Πουλχερία. - Αὕτη ἐρωτηθεῖσα ὑπό τινος ἐν συνόδῳ πλειόνων γυναικῶν, διατί μόνη τῶν ἄλλων γυναικῶν οὐ φορεῖ κόσμον, ἔφη· Αὐτάρκης κόσμος ἐστί γυναικί, ἡ τοῦ ἀνδρός ἀρετή.

Πυθαγόρ. - Τό εἰς πῦρ καί γυναῖκα ἐμπεσειν, ἴσον ὑπάρχει.

Σεκοῦνδος. - Σεκοῦνδος ὁ σοφός ἐρωτηθείς, Τί ἐστι γυνή; εἶπεν· Ἀνδρός ναυάγιον, οἴκου ζάλη, ἀμεριμνίας ἐμπόδιον, βίου ἅλωσις, καθημερινή ζημία, αὐθαίρετος μάχη, πολυτελής πόλεμος, συνεσθιόμενον θηρίον, συγκαθημένη μέριμνα, συμπλεκομένη λέαινα, κεκοσμημένη σκύλλα, ζῶον πονηρόν, ἀναγκαῖον κακόν.

Ὁ αὐτός ἔφη, Τριῶν κακῶν τέτευγμαι· γραμματικῆς, πενίης, καί οὐλομένης γυναικός ἐκφυγεῖν οὐκ ἴσχυσα.

Φιλόξενος. - Φιλόξενος ὁ ποιητής, (=913=) εἰπόντος τινος, Διατί Σοφοκλῆς χρηστάς παρεισάγει τάς γυναῖκας , αὐτός δέ φαύλας, εἶπεν, Ὅτι Σοφοκλῆς μέν, οἵας δεῖ εἶναι τάς γυναῖκας λέγει· ἐγώ δέ, οἷαί εἰσιν.

ΛΟΓΟΣ Μ΄.

## Περί ἀντιλογίας καί θρασύτητος καί ἔριδος.

(≡15E_310≡> Ματθ. ε΄. - Ἠκούσατε ὅτι ἐῤῥέθη, ὀφθαλμόν ἀντί ὀφθαλμοῦ, καί ὀδόντα ἀντί ὀδόντος; Ἐγώ δέ λέγω ὑμῖν· Μή ἀντιστῆναι τῷ πονηρῷ· ἀλλ᾽ ὅστις σε ῥαπίσει εἰς τήν δεξιάν σιαγόνα, στρέψον αὐτῷ καί τήν ἄλλην.

Ῥωμ. θ΄. - Ὦ ἄνθρωπε, μενοῦν γε, σύ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; Μή ἐρεῖ τό πλάσμα τῷ πλάσαντι, Τί με ἐποίησας οὕτως; ἤ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεύς τοῦ πηλοῦ ἐκ τοῦ αὐτοῦ φυράματος ποιῆσαι, ὅ μέν εἰς τιμήν σκεῦος, ὅ δέ εἰς ἀτιμίαν;

Παροιμ. κζ' . - Σίδηρος σίδηρον ὀξύνει·

Παροιμ. κε΄. - Ἄνεμος Βοῤῥᾶς ἐξεγείρει νέφη· πρόσωπον δέ ἀναιδές, γλῶσσαν ἐρεθίζει.

Σιράχ δ΄. - Μή γίνου θρασύς ἐν τῇ γλώσσῃ σου, καί νωθρός καί παρειμένος ἐν τοῖς ἔργοις σου.

Σιράχ κβ' . - Πρό πυρός, ἀτμίς καμίνου καί καπνός·οὕτω πρό αἱμάτων, λοιδορίαι.

Ἄνθρωπος συνεθιζόμενος λόγοις ὀνειδισμοῦ, ἐν πάσαις ταῖς ἡμέραις αὐτοῦ μή παιδευθῇ.

Ἔρις κατασπευδομένη ἐκκαίει πῦρ· καί μάχη κατασπεύδουσα ἐκχέει αἷμα.

Βασιλ. - Ἡ ἀντιλογία τό αὐτοκρατορικόν καί ἀνυπότακτον δείκνυσι, κἄν ἐν σχήματι ταπεινώσεως γίνηται.

Θεολόγου. - Φιλεῖ γάρ τά γενναῖα φρονήματα πρό τό βίᾳ κρατοῦ αὐθαδίζεσθαι, καί καθάπερ φλόξ ὑπ᾿ ἀνέμου (≡15E_312≡> ῥιπιζομένη, τοσούτῳ μᾶλλον ἀνάπτεσθαι, ὅσῳπερ ἄν σφοδρότερον καταπνέηται.

Χρυσοστ. - Μή πρός τούς παραινοῦντας σιγᾷν ἀντίτεινε λέγων, Οὐκ ἀνέξομαι ἵνα μου καταγελάσας ὁ δεῖνα ἀπέλθῃ. Οὐ γάρ δή τότε σου καταγελᾷ, ἀλλ᾿ ὅταν ἐπεξέλθῃς. Εἰ δέ καί τότε γελάσεται, ὡς ἀνόητος καί τοῦτο πείσεται. Σύ δέ μή ζήτει νικῶν τήν παρά τῶν ἀνοήτων μαρτυρίαν, ἀλλ᾿ ἀποχρώσας (=916=) νόμιζε τήν παρά τῶν συνετῶν. Μᾶλλον δέ πρός τόν Θεόν ἀνάβλεψον, κἀκεῖνός σε ἐπαινέσει· τόν δέ παρ᾿ ἐκείνου θαυμαζόμενον, οὐ δεῖ τήν παρά τῶν ἀνθρώπων τιμήν ὅλως ἐπιζητεῖν.

Γρηγ. Νύσσ. - Τά μέν γάρ λοιπά τῶν ἁμαρτημάτων, καί χρόνου καί πραγμάτων καί τῶν ἔξωθεν συνεργίας πρός τό γενέσθαι δέονται· ἡ δέ τοῦ λόγου φύσις, κατ᾿ ἐξουσίαν ἔχει τό πλημμελεῖν.

Φίλωνος. - Ἀναισχυντία μέν ἴδιον φαύλου· αἰδώς δέ, σπουδαίου· τό δέ μήτε αἰσχύνεσθαι μήτε ἀναισχυντεῖν, τοῦ ἀκαταλήπτως ἔχοντος καί ἀσυνκαθέτως.

Ἀναιδές βλέμμα καί μετέωρος αὐχήν, καί συνεχής κίνησις ὀφρύων, καί βάδισμα σεσοβημένον, καί τό ἐπί μηδενί τῶν φαύλων ἐρυθριᾷν, σημεῖα ψυχῆς ἐστιν αἰσχίστης, τούς ἀφανεῖς τῶν οἰκείων ὀνειδῶν τύπους ἐγγραφούσης τῷ φανερῷ σώματι.

Φιλιστίων.

Ὅστις γάρ αὐτός αὐτόν οὐκ αἰσχύνεται,
Συνειδώς αὐτῷ φαῦλα διαπεπραγμένῳ,
Πῶς τόν δε μηδέν εἰδότ᾿ αἰσχυνθήσεται;

Ἀριστοτέλ. - Τό μή αἰσχύνεσθαι κακόν ὄντα, κακίας ὑπερβολή.

Σωκράτης. - Γλώσσῃ θρασείᾳ μή χρῆσθαι· πολλάκις γάρ τό θράσος, καί αὐτήν διώλεσε τήν κεφαλήν.

Εὐριπίδ. - Θράσει μέν οὐδείς οὐδέπω, πόνῳ δέ καί γενναιότητι καί ἐπιεικείᾳ ἀρετήν ἐπεκτήσατο.

(≡15E_314≡> Μενάνδρου. - Οὐκ ἔστιν ἀνοίας οὐδέν ὡς ἐμοί δοκεῖ, τολμηρότερον.

Μουσωνίου. - Αἰδοῦς παρά πᾶσιν ἄξιος ἔσῃ, ἐάν πρῶτον ἄρξῃ σαυτόν αἰδεῖσθαι.

Θεόφραστ. - Αἰδοῦς παρά πᾶσιν ἄξιος ἔσῃ, ἐάν πρῶτον ἄρξῃ σαυτόν αἰδεῖσθαι.

Κάτωνος. - Ὁ αὐτός ἰδών μειράκιον ἐρυθριάσαν, ἔφη. Θάῤῥει· τοιοῦτον γάρ ἔχει ἡ ἀρετή τό χρῶμα.

Μάλιστα νόμιζε δεῖν ἕκαστον αἰδεῖσθαι ἑαυτόν· μηδένα γάρ ἑαυτοῦ μηδέποτε χωρίς εἶναι.

**ΛΟΓΟΣ ΜΑ΄.**

## Περί γήρως καί νεότητος.

(≡15E_316≡> Ἰωάν. κα΄. - Ὅτε ἦς νεώτερος, ἐζώννυες ἑαυτόν καί περιεπάτεις ὅπου ἤθελες· ὅταν δέ γηράσῃς, ἐκτενεῖς τάς χεῖράς σου, καί ἄλλος δε ζώσει, καί οἴσει ὅπου οὐ θέλεις.

Ἑβραί. ιβ΄. - Διό τάς παρειμένας χεῖρας καί παραλελυμένα γόνατα ἀνορθώσατε· καί τροχιάς ὀρθάς ποιήσατε τοῖς ποσίν ὑμῶν.

Σιράχ στ' . - Μῆκος βίου, ὁδοί δικαιοσύνης.

Ἐν πλήθει πρεσβυτέρων, στῆθι· καί εἴ τις σοφός, προσκολλήθητι αὐτῷ.

Σιράχ η΄. - Μή ἀτιμάσῃς ἄνδρα ἐν γήρει αὐτοῦ· καί γάρ καί ἐξ ἡμῶν γηράσκουσιν.

(=917=) Σιράχ κε' . - Ὡς ὡραῖον πολιαῖς κρίσις, καί πρεσβύτερος ἐπιγνῶναι βουλήν.

Ὡς ὡραία γερόντων σοφία, καί δεδοξασμένοις διανοήματα βουλῆς!

Ἐμίσησεν ἡ ψυχή μου γέροντα μοιχόν, ἐλαττούμενον συνέσει.

Βασιλ. - Πλέον τῷ ὄντι τῆς ἐν θριξί λευκότητος εἰς πρεσβυτέρου σύστασιν, τό ἐν φρονήσει πρεσβυτερικόν.

Διαφέρει τοῦ νηπίου καθ᾽ ἡλικίαν οὐδέν, ὁ ἐν ταῖς φρεσί μηπιάζων.

Θεολόγου. - Αἰσχρόν τήν μέν ἡλικίαν παρακμάσαι, μή παρακμάσαι δέ τήν ἀσέλγειαν.

Παιδεύεταί τι καί πολιά, καί οὐ πάντη τό γῆρας, ὡς ἔοικεν, εἰς σύνεσιν ἀξιόπιστον.

(≡15E_318≡> Χρυσοστόμ. - Πολιά οὐ τρίχες λευκαί, ἀλλά ψυχῆς ἀρεταί.

Μή τόν νέον διάβαλλε· μηδέ τόν γεγηρακότα ἐπαίνει· οὔτε γάρ ἐν τῇ διαφορᾷ τῆς ἡλικίας ἀρετή καί κακία, ἀλλ᾽ ἐν τῇ διαφορᾷ τῆς γνώμης.

Γρηγ. Νύσσ. - Ἐπί παντός ὡς ἐπί πολύ πράγματος, ἐπισφαλής σύμβουλος ἡ νεότης· καί οὐκ ἄν τις ῥᾳδίως κατώρθωσέ τι τῶν σπουδῆς ἀξίων, ᾧ μή καί πολιά συμπαρελήφθη πρός κοινωνίαν τοῦ σκέμματος.

Φίλων. - Ὁ ἀληθείᾳ πρεσβύτερος, οὐκ ἐν μήκει χρόνου, ἀλλ' ἐπαινετῷ καί τελείῳ βίῳ θεωρεῖται.

Εὐαγρίου. - Τό ἔντιμον ἐν γήρᾳ εἶναι, ἀπόδειξις τοῦ φιλόπονον πρό γήρως γεγονέναι· τό δέ σπουδαῖον ἐν νέῳ, ἐχέγγυον τοῦ ἔντιμον ἐν γήρᾳ ἔσεσθαι.

Ἀνθεῖ πρός ἐπιστήμην ψυχή, ὁπότε ὁ τοῦ σώματος ἀκμαί χρόνου μήκει περαίνονται.

Νείλου. - Θρίξ λελευκαμένη, τήν ἐντεῦθεν τῆς ψυχῆς ἀποδημίαν βοᾷ καί διαμαρτύρεται.

Πλουτάρχ. - Ὁ μέν χειμών, σκέπης· τό δέ γῆρας, ἀλυπίας δεῖται.

Πλουτάρχ. - Ἡδύ ἐστιν ὥσπερ φίλῳ σπουδαίῳ, οὕτω καί λόγῳ καλῷ συγγηράσκειν.

Παρεκελεύετο τοῖς νέοις τρία ταῦτα ἔχειν, ἐπί μέν τῆς γνώμης, σωφροσύνην· ἐπί δέ τῆς γλώττης, σιγήν· ἐπί δέ τοῦ προσώπου, αἰδώ.

Ἐκ τῶν Φαυωρίνου. - Ἐρατοσθένης ὁ Κυρηναῖος, τῆς ἡλικίας ἔφη, τό μέν ἀκμάζον, ἔαρ εἶναι· θέρος δέ καί μετόπωρον, τό μετά τήν ἀκμήν· χειμῶνα δέ, τό γῆρας.

Σόλωνος. - Γῆρας, ἔλεγεν ὅρμον εἶναι κακόν· εἰς αὐτό γάρ πάντα καταφεύγει.

Διογένης. - Ἐρομένου τινός αὐτόν, Τί νομίζεις τό γῆρας; ἀπεκρίνατο, Τοῦ ζῆν χειμῶνα.

(≡15Ε_320≡> Διογένης. - Ἰδών δέ γραῦν καλλωπιζομένην, εἶπεν, (=920=) Εἰ μέν πρός τούς ζῶντας, πεπλάνησαι· εἰ δέ πρός τούς νεκρούς μή βράδυνε.

Ἀλεξάνδρ. - Ἀλέξανδρος ἰδών τινα τῶν γερόντων βαπτόμενον τάς τρίχας, εἶπε. Μή τάς τρίχας βάπτου, ἀλλά τά γόνατα.

Ὀργίας ἐρωτηθείς, ποίᾳ διαίτῃ χρώμενος, εἰς μακρόν γῆρας ἦλθες; Οὐδέν οὐδέποτε, ἔφη, πρός ἡδονήν οὔτε φαγών οὔτε δράσας.

Προκόπιος. - Βίου μῆκος, προσδοκηθέν μέν, πολύ· παραδραμόν δέ, πέφυκεν ὀνείρου καί σκιᾶς ἀμυδρότερον εἶναι.

Φιλήμον.

Σύρα, Σύρα, τί ἐστι; πῶς ἡμῖν ἔχεις;
Μηδέποτ᾽ ἐρώτα τοῦτ᾽ ἐπάν γέροντ᾽ ἴδῃς,
Ἤ γραῦν τινα· ἴσθι δ᾽ εὐθύς ὅτι κακῶς ἔχει.

Ἡρώδου.

Ἐπήν τόν ἑξηκοστόν ἥλιον κάμψῃς,
Ὦ Γρύλλε, Γρύλλε, θνῆσκε, τέφρα γίνου.
Ὡς τυφλός ὁ ὑπέρ κεῖνο τοῦ βίου καμπτήρ.

Φιλήμον. - Ἔστι που σύνεσις νέων, καί γερόντων ἀσυνεσία· χρόνος γάρ οὐ διδάσκει φρόνησιν, ἀλλά φύσις ὀρθή καί δίαιτα.

Δημοκρίτ. - Γῆρας καί πενία, δύο τραύματα δυσθεράπευτα.

Παλαιός αἶνος, ἔργα μέν νεωτέρων,
Βουλαί δ' ἔχουσιν τῶν γεραιτέρων κράτος.
Γῆρας λεόντων κρεῖσσον ἀκμάτων νεβρῶν.

Ἰσχύς καί εὐμορφίη, νεότητος ἀγαθόν· γῆρας δέ, σωφροσύνης ἄνθος.

**ΛΟΓΟΣ ΜΒ΄.**

## Περί ὑπομονῆς καί μακροθυμίας.

(≡15Ε_322≡> Λουκ. κα΄. - Ἐν δέ τῇ ὑπομονῇ κτήσασθε τάς ψυχάς ὑμῶν.

Ἰακ. ε΄. - Ἀδελφοί, ὑπόδειγμα λάβετε τῆς κακοπαθείας καί τῆς μακροθυμίας τούς προφήτας, οἵ ἐλάλησαν τῷ ὀνόματι Κυρίου. Ἰδού μακαρίζομεν τούς ὑπομένοντας. Τήν ὑπομονήν Ἰώβ ἠκούσατε, καί τό τέλος Κυρίου ἴδετε.

Παροιμ. ιε' . - Μακρόθυμος ἀνήρ, κατασβέσει κρίσεις· ὁ δέ ἀσεβής, ἐγείρει μᾶλλον.

Σιραχ β΄. - Πᾶν ὅ ἐάν ἐπαχθῇ σοι, δέξαι, καί ἐν ἀλλάγματι ταπεινώσεώς σου, μακροθύμησον, ὅτι ἐν πυρί δοκιμάζεται χρυσός, καί ἄνθρωποι δεκτοί ἐν καμίνῳ ταπεινώσεως.

Σιράχ κβ΄. - Ὑπόμεινον ἐν καιρῷ θλίψεως, καί διάμενε ἐπί τόν πλησίον, ἵνα ἐν τῇ κληρονομίᾳ αὐτοῦ συγκληρονομήσῃς.

Βασιλείου. - Ἔστω σοι ἡ ἐντολή τοῦ Θεοῦ σύνοικος (921) οἷόν τι φῶς καί διαύγεια πρός τήν τῶν πραγμάτων διάκρισιν ἀδιαλείπτως παρεχομένη· ἥτις πόῤῥωθεν τήν τῆς ψυχῆς σου ἐπιστασίαν προκατασχοῦσα, καί τάς ἀληθεῖς περί ἑκάστου δόξας προευτρεπίζουσα, ὑπ᾽ οὐδενός ἐάσει σε τῶν προσπιπτόντων ἀλλοιωθῆναι· ἀλλά προευτρεπισμένον τῇ διανοίᾳ, ὥσπερ τινά σκόπελον θαλάσσης γείτονα, ἀσφαλῶς καί ἀσείστως τῶν τε βιαίων πνευμάτων καί τῶν κυμάτων τάς προσβολάς ὑπομένειν.

Θεολ. - Βέλτιον τοῦ τάχους ἡ μακροθυμία, καί τῆς αὐθαδείας ἡ συγκατάβασις.

Ἀγαθόν χρηστότητι νικᾷν θρασύτητα, καί βελτίους ποιεῖν (≡15E_324≡> τούς ἀδικοῦντας, οἷς καρτεροῦμεν πάσχοντες.

Ἀλγοῦσιν καί οἱ τῷ κόσμῳ προστετηκότες, καί πολλῷ πλέον τῷ Θεῷ δουλευόντων· ἀλλά μισθός αὐτοῖς τό ἀλγεῖν· ἡμῖν δέ καί τό πάσχειν ἔμμισθον, ὅταν διά τόν Θεόν καρτερῶμεν.

Μή γενώμεθα δοῦλοι κακοί, ἀγαθύνοντι μέν ἐξομολογούμενοι τῷ Δεσπότῃ· παιδευόμενοι δέ, μή προστιθέμενοι· καίτοι ποτέ κρεῖσσον ὑγείας πόνος, καί ὑπομονή ἀνέσεως, καί ἐπίσκεψις ἀμελείας.

Χρυσοστ. - Οὐδέν οὕτως αἰδεσίμους ποιεῖ, ὡς τούς ὑβριζομένους φέρειν.

Καθάπερ τοῖς μετανοοῦσιν ἡ τοῦ Θεοῦ μακροθυμία ὠφέλιμος, οὕτως τοῖς ἀνενδότοις καί σκληροῖς μειζόνων γίνεται κολάσεων πρόφασις.

Ὅταν τις ἐπηρεάζῃ, μή πρός αὐτόν ἴδῃς, ἀλλά πρός τόν κινοῦντα δαίμονα· καί τήν ὀργήν ἅπασαν κατ᾽ ἐκείνου κένωσον· αὐτόν δέ καί ἐλέει τόν ὑπ᾽ ἐκείνου κινούμενον.

Οὐδέν γάρ οὕτω λαμπρούς ποιεῖ καί ζηλωτούς, καί μυρίων ἐμπίπλησι ἀγαθῶν, ὡς πειρασμῶν πλῆθος, καί κίνδυνοι καί πόνοι καί ἀθυμίαι· καί τό διηνεκῶς ἐπιβουλεύεσθαι, καί παρ᾽ ὧν οὐδαμῶς ἐχρῆν, καί πάντα πράως φέρειν.

Ὅπερ γάρ ἄν πάθωμεν ἀδίκως παρ᾽ ότοοῦν, ἤ εἰς ἁμαρτημάτων διάλυσιν ὁ Θεός ἡμῖν λογίζεται τήν ἀδικίαν ἐκείνην, ἤ εἰς μισθοῦ ἀντίδοσιν.

Νείλου. - Τό ὀλιγωρεῖν, καί μή θέλειν ὑπομένειν συμφοράς, μεγάλης καί ποικίλης ἀφροσύνης ἴδιον.

Γλύκωνος. - Γνῶσις θεοῦ διά μακροθυμίας καί πραότητος εἰς ἄνδρα γνωρίζεται.

Γρηγ. Νύσσ. - Ἡ τοῦ λοιδορεῖσθαι καί ὑβρίζειν ἀκολουθία, διά μακροθυμίας ἵσταται τῆς ἐπί τά πρόσω φορᾶς· ὡς εἴ γέ τις ὕβρει τήν ὕβριν καί λοιδορίᾳ τήν λοιδορίαν ἀμύνοιτο, πλεονάσει πάντως, τρέφων διά τῶν ὁμοίων τό ἄτοπον.

(≡15E_326≡> (=924=) Τό πιστόν καί ἀναμφίβολον τῆς ἐλπιζομένης χάριτος, ἀπόλαυσις τοῖς δι᾽ ὑπομονῆς ἀπεκδεχομένοις γίνεται.

Δημοκρίτ. - Εἰ μέν ἦν μαθεῖν ἅ δεῖ παθεῖν, καί μή παθεῖν, καλόν τό μαθεῖν· εἰ δέ παθεῖν, τί δεῖ μαθεῖν; παθεῖν γάρ χρή.

Σόλων. - Σόλων, προσπτύσαντος αὐτῷ τινος, ἠνέσχετο· μεμψαμένου δέ αὐτῷ ἑτέρου ἐπί τούτῳ, Εἶτα οἱ μέν ἁλιεῖς, εἶπεν, ὑπομένουσι ῥαίνεσθαι τῇ θαλάσσῃ, ἵνα κωβίον θηράσωσιν· ἐγώ δέ μή ἀνάσχωμαι τό αὐτό παθεῖν ἵνα ἄνθρωπον ἁλιεύσω;

Μητροδώρου. - Μή ζήτει γίνεσθαι τά γινόμενα ὡς θέλεις, ἀλλά θέλε ὡς ἄν τά γινόμενα γίνηται.

**ΛΟΓΟΣ ΜΓ΄.**

## Περί ἐπαίνου.

(≡15E_328≡> Λουκ. στ΄. - Οὐαί ὑμῖν, ὅταν καλῶς ὑμᾶς εἴπωσιν οἱ ἄνθρωποι· κατά ταῦτα γάρ ἐποίουν τούς ψευδοπροφήτας οἱ πατέρες αὐτῶν.

Ἰακ. γ΄. - Ἐκ τοῦ αὐτοῦ στόματος ἐξέρχεται εὐλογία καί κατάρα. Οὐ χρή, ἀδελφοί μου, ταῦτα οὕτω γίνεσθαι. Μή τι ἡ πηγή ἐκ τῆς αὐτῆς ὀπῆς βρύει τό γλυκύ καί τό πικρόν;

Δοκίμιον ἀργυρίου καί χρυσίου, πύρωσις· ἀνήρ δέ δοκιμάζεται διά στόματος ἐγκωμιαζόντων αὐτόν.

Σιράχ κζ' . - Πρό λογισμοῦ μή ἐπαινέσῃς ἄνδρα· οὗτος γάρ πειρασμός ἀνθρώπων.

Βασιλ. - Μή πρός ἐπαίνους χαυνωθῶμεν τούς ὑπέρ τήν ἀλήθειαν.

Θεολ. - Αἱ τῶν τιμῶν ὑπερβολαί, παρασκευάζουσί τινας καί τοῦ δέοντος καταφρονῆσαι· ὧν γάρ τούς ἐπαίνους οἶδα, τούτων σαφῶς καί τάς ἐπιδόσεις.

Μήτε τό ἀλλότριον ἐπαινείσθω πᾶν, ὅ μή δίκαιον· μήτε ἀτιμαζέσθω τό οἰκεῖον εἰ τίμιον· ἵνα μή τῷ μέν κέρδος ἡ ἀλλοτριότης ᾖ· τῷ δ᾽ εἰς ζημίαν περιστῇ τό τῆς οἰκειότητος. Ἀμφοτέρως γάρ ἄν ὁ τοῦ δικαίου βλάπτοιτο λόγος, κἀκείνων ἐπαινουμένων, καί τούτων σιωπωμένων.

Χρυσοστ. - Ὁ γάρ ἐπαινῶν πονηρίαν, τῆς ἐκ τοῦ μετανοῆσαι θεραπείας αὐτήν ἀπεστέρησε.

Οὐχ οἱ τά φαῦλα πράττοντες μόνον, ἀλλά καί οἱ τούτους (≡15E_330≡> ἐγκωμιάζοντες, τῆς αὐτῆς, ἤ καί χαλεπωτέρας ἐκείνοις κοινωνήσουσι κολάσεως.

Τοῦ ἁγίου Ἰγνατίου. - Κἄν ἐῤῥωμένος ὦ κατά Θεόν, πλέον με δεῖ φοβεῖσθαι καί προσέχειν τοῖς εἰκῆ φυσιοῦσί με. Ἐπαινοῦντες γάρ με μαστιγοῦσιν.

(=925=) Κλήμεντος. - Θηρεύουσι τοῖς μέν κυσί, τούς λαγωούς, οἱ κυνηγοί· τοῖς δέ ἐπαίνοις τούς ἀνοήτους οἱ πολλοί.

Τό μέν λαβανωτόν, τοῖς θεοῖς· τόν δέ ἔπαινον τοῖς ἀγαθοῖς ἀπονέμειν χρή.

Ἰσοκράτ. - Πιστούς ἡγοῦ, μή τούς πᾶν ὅ τι ἄν ποιῇς καί λέγῃς ἐπαινοῦντας, ἀλλά τοῖς ἁμαρτανομένοις ἐπιτιμῶντας.

Μοσχίων. - Εἰ θέλεις καλῶς ἀκούειν, μάνθανε καλῶς λέγειν. Πειρῶ καλῶς πράττειν, καί οὕτω καρπώσῃ τό καλῶς ἀκούειν.

Πολυαίνου. - Παρόντα μήτε ψέγε, μήτ᾽ ἐπαίνει· τό μέν γάρ ἔχθραν φέρει· τό δέ κολακείαν.

Κυψέλλου. - Ζῶν μέν, ἐπαινοῦ· ἀποθανών δέ, μακαρίζου.

Ἀνταγένης. - Οὗτος εἶπεν, ὅταν ἐπαινῶσί με πολλοί , τότε νομίζω μηδενός ἄξιος εἶναι· ὅτα δέ ὀλίγοι, σπουδαῖον ἄνθρωπον.

**ΛΟΓΟΣ ΜΔ΄.**

## Περί κάλλους.

(≡15Ε_332≡> Ματθ. στ΄. - Καταμάθετε τά κρίνα τοῦ ἀγροῦ πῶς αὐξάνει· οὐ κοπιᾷ οὐδέ νήθει. Λέγω γάρ ὑμῖν, ὅτι οὐδέ Σολομών ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἕν τούτων.

Α΄ Τιμ. β΄. - Βούλομαι τάς γυναῖκας ἐν καταστολῇ κοσμίῳ, μετά αἰδοῦς καί σωφροσύνης, κοσμεῖν ἑαυτάς· μή ἐν πλέγμασιν ἤ χρυσῷ ἤ μαργαρίταις, ἤ ἱματισμῷ πολυτελεῖ.

Παροιμ. στ' . - Μή σε νικήσῃ κάλλους ἐπιθυμία· μηδέ ἀγρευθῇς σοῖς ὀφθαλμοῖς.

Σιράχ ια΄. - Μή αἰνέσῃς ἄνδρα ἐν κάλλει αὐτοῦ.

Σιράχ κς΄. - Κάλλος προσώπου ἐπί ἡλικίᾳ στασίμῃ.

Βασιλείου. - Ὁ σήμερον εὐθαλής τῷ σώματι κατασεσαρκωμένος ὑπό τρυφῆς, ἐπανθοῦσαν ἔχων τήν εὔχροιαν, ὑπό τῆς κατά τήν ἡλικίαν ἀκμῆς σφριγῶν καί σύντονος καί ἀνυπόστατος τήν ὁρμήν, αὔριον ὁ αὐτός οὗτος ἐλεεινός, ἤ τῷ χρόνῳ μαρανθείς, ἤ νόσῳ διαλυθείς.

Θεολόγου. - Χρυσός καί λίθοι, καί τά τέχνης καί χειρός ὡραΐσματα, τήν μέν αἰσχράν ἐλέγχει τῇ παραθέσει, τῇ καλῇ δ'οὐ προσθήκη, κάλλους ἡττώμενα.

Κάλλος νόμιζε τήν φρενῶν εὐκοσμίαν.

Οὔτε φλόξ μένει τῆς ὕλης δαπανηθείσης, ἀλλά τῷ ἀνάπτοντι συναπέρχεται· οὔτε λογισμός ἐμπαθής ὑφίσταται μαραινομένου τοῦ ὑπεκκαύματος.

(≡15Ε_334≡> Μή σε νικησάτω κάλλους ἐπιθυμία, μηδέ συναρπασθῇς σοῖς βλεφάροις, εἰ δυνατόν, μέχρι καί παροράματος.

(=928=) Χρυσοστ. - Τίς ἀρετή ὀφθαλμῶν; ἆρα τό ὑγρούς εἶναι καί εὐτρόφους καί στρογγύλους καί κυανούς ἤ τό ὀξεῖς καί διορατικούς; Καί τίς ἀρετή λύχνου; τό λαμπρῶς φαίνειν καί πᾶσαν καταυγάζειν τήν οἰκείαν, ἤ τό καλῶς πεπλᾶσθαι καί στρογγύλον εἶναι; Οὐ γάρ ἀπό τῆς διαπλάσεως, ἀλλ᾽ ἀπό τῶν τρόπων καί τῆς κοσμιότητος τό κάλλος χαρακτηρίζεται.

Πλουτάρχ. - Εἰς κάτοπτρον κύψας, θεώρει· καί εἰ μέν καλός φαίνει, ἄξιον τούτου πρᾶττε· εἰ δέ αἰσχρός, τό τῆς ὄψεως ἐλλιπές ὡράϊζε καλοκαγαθίᾳ.

Λαυκίππης. - Ὀφθαλμός γάρ φιλίας πρόξενος· καί τό σύνηθες τῆς κοινωνίας εἰς χάριν αἰδεσιμώτερον.

Ὀφθαλμοί γάρ ἀλλήλοις ἀντανακλώμενοι, ἀπομάττουσιν ὡς ἐν κατόπτρῳ τῶν σωμάτων τά εἴδωλα.

Διογένης. - Τούς εὐειδεῖς καί ἀπαιδεύτους, ὁμοίους ἔφη εἶναι ἀλαβάστροις ἔχουσιν ὄξος.

Ἐτεοκλέους. - Σεμνυνομένου τινός ἐπί τῷ κάλλει, Οὐκ αἰσχήνῃ, ἔφησεν, ἐπί τῇ ὥρᾳ μέγα φρονῶν, ἥν παρακαταθήκην τοῦ μικροῦ χρόνου ἔχεις;

Αἰσώπου. - Αἴσωπος πρός τόν κάλλει κακῶς κεχρημένον, εἶπεν· Ὁποίῳ ἱματίῳ ἠμφιεσμένος, κακῶς αὐτό ἀποδύῃ;

Ὁ αὐτός ὀνειδιζόμενος ὅτι χαλεπήν ἔχει τήν ὄψιν, ἔφη· Μή μου τό εἶδος, ἀλλ' εἰς τόν νοῦν πρόσεχε.

Θεασάμενος νεανίσκον καλλωπιζόμενον, Εἰ μέν πρός ἄνδρας ἔφη, ἀτυχεῖς, εἰ δέ πρός γυναῖκας, ἀδικεῖς.

Ὁ αὐτός θεασάμενος μειράκιον εὔμορφον, καί διά ταῦτα φιλούμενον, ἔφη, Ὦ μειράκιον, σπούδασον τούς τοῦ σώματος ἐραστάς ἐπί τήν ψυχήν μεταγαγεῖν.

(≡15E_336≡> Μενάνδρου.

Ὅταν φύσει τό κάλλος ἐπικοσμεῖ τρόπος
Χρηστός, διπλασίως ὁ προσιών ἁλίσκεται.

Σωκράτ. - Τά καλά τε καί ἀγαθά, ἔφην ἐγώ, οὐ διά τάς ὡραιότητας τῶν ὄψεων, ἀλλά διά τάς ἐν τῷ βίῳ ἀρετάς τοῖς ἀνθρώποις ἐπαύξεσθαι.

Τά τῶν καλῶν φιλήματα φυλάττεσθαι δεῖ, ὡς τά τῶν ἰοβόλων δήγματα.

ΛΟΓΟΣ ΜΕ΄.

## Περί μελλούσης κρίσεως.

(≡15E_338≡> Ματθ. ιστ΄. - Μέλλει ὁ Υἱός τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν δόξῃ τοῦ Πατρός αὐτοῦ μετά τῶν ἀγγέλων αὐτοῦ· καί τότε ἀποδώσει ἑκάστῳ κατά τά ἔργα αὐτοῦ.

Α΄ Κορ. γ΄. - Ἑκάστου τό ἔργον φανερόν γενήσεται. (=929=) Ἡ ἡμέρα δηλώσει ὅτι ἐν πυρί ἀποκαλύπτεται· καί ἑκάστου τό ἔργον ὁποῖόν ἐστι, τό πῦρ δοκιμάσει.

Σολομ. ιβ΄. - Σύμπαν τό ποίημα ἄξει ὁ Θεός εἰς κρίσιν, ἐν παντί παρεωραμένῳ, ἐάν ἀγαθόν, ἐάν πονηρόν.

Σιράχ ιζ΄. - Ἐξαναστήσεται Κύριος καί ἀνταποδώσει πᾶσι, καί τό ἀνταπόδομα αὐτῶν εἰς κεφαλάς αὐτῶν ἀνταποδώσεις.

Βασιλείου. - Μή με νομίσῃς, ὥσπερ μητέρα τινά τροφόν, ψευφῆ σοι μορμολύκεια ἐπισείειν, ὥσπερ ἐκεῖναι ποιεῖν περί τούς νηπίους τῶν παίδων εἰώθασιν, ὅταν θρηνῶσιν ἄτακτα καί ἀπέραντα, δι᾽ ἐπιπλάσεως τῶν διηγημάτων κατασιγάζουσι. Ταῦτα γάρ οὐ μύθος, ἀλλά λόγος ἀψευδής προκεκηρυγμένος φωνεῖ. Καί ἴσθι ἀκριβῶς ὅτι γενήσεται τῶν βεβιωμένων ἔλεγχος ἀκριβής.

Κατά γάρ τόν Ὠσηέ, Κυκλώσει ἕκαστον τά διαβούλια αὐτοῦ. Ὀψόμεθα γάρ ἅμα πάντα οἱονεί παρεστῶτα ἡμῖν τά ἔργα, καί φαινόμενα ἀντιπρόσωπα τῇ διανοίᾳ ἡμῶν, κατά τῶν ἰδίων τύπων, ὡς ἕκαστον ἰδεῖν ἑαυτόν πέπρακται ἤ ὡς λέλεκται. Οὐ μήν χρόνους (≡15Ε_340≡> γε προσήκει νομίζειν καταναλωθήσεσθαι, εἰς τό ἕκαστον ἰδεῖν ἑαυτόν μετά τῶν ἑαυτοῦ πράξεων, καί τόν Κριτήν, καί τά ἀκόλουθα τῷ θείῳ δικαστηρίῳ· ἀφάτῳ δέ δυνάμει ἐν ῥοπῇ καιροῦ φαντασιουμένου τοῦ νοῦ, καί πάντα ἀναζωγραφοῦντος ἑαυτῷ, καί οἱονεί ἐν κατόπτρῳ, τῷ ἡγεμονικῷ, ἐνορῶντος τούς τύπους τῶν πεπραγμένων.

Θεολόγου. - Ὦ βέλτιον εἶναι νῦν παιδευθῆναι καί καθαρθῆναι, ἤ τῇ ἐκεῖθεν βασάνῳ παραπεμφθῆναι, ἡνίκα κρίσεως καιρός, οὐ καθάρσεως.

Χρυσοστ. - Καθάπερ ἡμεῖς τοῖς οἰκέταις τοῖς ἡμετέροις, οὐχί τῆς ἐξόδου μόνον, ἀλλά καί τῆς εἰσόδου ποιοῦμεν τόν λόγον, ἐξετάζοντες πόθεν ὑπεδέξαντο τάδε καί τάδε· παρά τίνων καί πότε καί πῶς, καί ποῖα καί πόσα οὕτω καί ὁ Θεός, οὐχί τῆς δαπάνης μόνον, ἀλλά καί τῆς κτήσεως ἀπαιτεῖ τάς εὐθύνας.

Οὐδέν ὅλως τῶν ἀγαθῶν, κἄν μικρόν εἴῃ, παροφθήσεται ἐκεῖ παρά τοῦ Κριτοῦ. Εἰ γάρ ἁμαρτημάτων καί ῥημάτων καί ἐνθυμημάτων τιννύειν μέλομεν τιμωρίας, πολλῷ μᾶλλον τιμωρίας, πολλῷ μᾶλλον τά κατορθώματα, κἄν μεγάλα ᾖ, κἄν μικρά, λογισθήσεται.

Οἱ τά πολλά πταίοντες, καί μή κολαζόμενοι, φοβεῖσθαι καί δεδοικέναι ὀφείλουσιν. Αὔξεται γάρ (932) αὐτοῖς τά τῆς τιμωρίας διά τῆς ἀτιμωρησίας καί τῆς μακροθυμιάς τοῦ Θεοῦ.

Εἰ γάρ οἱ τό φῶς τό ἡλιακόν μή θεώμενοι, παντός θανάτου πικροτέραν ὑπομένουσι ζωήν, τί παθεῖν εἰκός τούς τοῦ φωτός ἀποστερηθέντας ἐκείνου.

Γρηγ. Νύσσ. - Ἄξιόν σοι τῆς σπορᾶς τό θέρος. Πικρίαν ἔσπειρας; δρέπου τά δράγματα; Τό ἀνηλεές ἐτίμησας; ἔχε ὅπερ ἠγάπησας. Ἔφυγες τόν ἔλεον; Φεύξεταί σε ὁ ἔλεος. Ἐβδελύξω πτωχόν; βδελύξεταί σε ὁ δι᾽ ἡμᾶς πτωχεύσας.

(≡15E_342≡>Φίλωνος. - Οὐκ ἔστι παρά Θεοῦ, οὔτε πονηρόν ὄντα ἀπολέσαι τόν ἀγαθόν μισθόν περί ἑνός ἀγαθοῦ, μετ᾿ οὐ πλειόνων ἀγαθῶν πεπραγμένου· οὔτε πάλιν ἀγαθόν ὄντα ἀπολέσαι τήν κόλασιν καί μή λαβεῖν αὐτήν, καί κατά πλειόνων ἀγαθῶν, ἐάν τι γένηται πονηρόν. Ἀνάγκη γάρ ζυγῷ καί σταθμῷ πάντα ἀποδιδόναι τόν Θεόν.

Οὐ τό κολάζεσθαι ἐνταῦθα κακόν, ἀλλά τό ἄξιον τῆς ἐκεῖσε γενέσθαι κολάσεως.

Ζαλεύκου. - Ὧδ᾿ ἡμῖν παρηγγέλθω πᾶσι τοῖς τοιούτοις πολίταις καί πολίτισι καί συνοίκοις· μεμνῆσθαι Θεόν ὡς ὄντα, καί δίκας ἐπιπέμπτοντα τοῖς ἀδίκοις· καί τίθεσθαι πρό ὀμμάτων τόν καιρόν τοῦτον, ἐν ᾧ γίνεται τό τέλος ἑκάστου τῆς ἀπαλλαγῆς τοῦ ζῆν. Πᾶσι γάρ ἐμπίπτει μεταμέλεια τῖς μέλλουσι τελευτᾷν, μεμνημένοις ὧν ἠδικήσασι, καί ὁρμή τοῦ βούλεσθαι πάντα πεπράχθαι δικαίως αὐτοῖς.

Ἀπολλωνίου. - Εἰ δ᾿ ἔστιν αἴσθησις ἐν ᾅδου, καί ἐπιμέλεια τῶν οἰχομένων παρά τοῦ δαιμονίου, ὥσπερ ὑπολαμβανόμεν, εἴη τούς ταῖς τιμαῖς τῶν Θεῶν καταλυομέναις βοηθήσαντας, πλείστης ἐπιμελείας ὑπό τοῦ δαιμονίου τυγχάνειν.

Πλουτάρχου. - Ἅιδου τινός ἀνοίγονται πύλαι βαθεῖαι, καί ποταμοί πυρός καί στηγός ἀπῤῥῶγες ἀνακεράννυνται καί σκότος ἐμπίπλαται πολυφαντάστων εἰδώλων, χαλεπάς μέν ὄψεις, οἰκτράς δέ φωνάς ἐπιφερόντων. Δικασταί δέ καί κολασταί καί χάσματα, καί μυχοί μυρίων κακῶν γέμοντες.

**ΛΟΓΟΣ ΜΣτ΄.**

## Περί δόξης.

(≡15E_344≡> Ματθ. ς΄. - Ζητεῖτε τήν βασιλείαν τοῦ Θεοῦ, καί τήν δόξαν αὐτοῦ, καί ταῦτα πάντα πάντα προστεθήσεται ὑμῖν.

(=933=) Ῥωμ. η΄. - Οὐκ ἄξια τά παθήματα τοῦ νῦν καιροῦ πρός τήν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς.

Παροιμ. γ' . - Δόξαν σοφοί κληρονομήσουσι· οἱ δέ ἀσεβεῖς, ὑψώσουσιν ἀτιμίαν.

Παροιμ. κα΄. - Ὁδός δικαιοσύνης καί ἐλεημοσύνης εὑρήσει ζωήν καί δόξαν.

Παροιμ. κα' . - Ὁδός δικαιοσύνης καί ἐλεημοσύνης εὑρήσει ζωήν καί δόξαν.

Παροιμ. κβ' . - Γενεᾷ σοφῇ φόβος Κυρίου, καί πλοῦτος καί δόξα καί ζωή.

Σιράχ λδ΄. - Μή δῷς μῶμον ἐν τῇ δόξῃ σου, καί ἐν ἡμέρᾳ δόξης μή ἐπαίρου.

Σιράχ ζ΄. - Μή ζήτει παρά Κυρίου ἡγεμονίαν, μηδέ παρά βασιλέως καθέδραν δόξης.

Σιράχ ια΄. - Πολλοί δυνάσται ἠτιμάσθησαν σφόδρα, καί ἔνδοξοι παρεδόθησαν εἰς χεῖρας ἑτέρων.

Σιράχ θ΄.- Μή ζηλώσῃς δόξαν ἁμαρτωλῶν.

Σιράχ δ΄. - Μεγιστᾶνι ταπείνου τήν κεφαλήν σου.

Σιράχ η΄. - Μή διαμάχου μετ᾽ ἀνθρώπου δυνάστου, μήποτε ἐμπέσῃς εἰς τάς χεῖρας αὐτοῦ.

Σιράχ ιγ΄. - Προσκαλουμένου δε δυνάστου, ὑποχωρῶν γίνου, καί τότε μάλιστα προσκαλέσεται.

Σιράχ λβ' . - Ἐν μέσῳ μεγιστάνων μή ἐξισάζου.

Σιράχ μβ΄. - Οὐκ ἐποίησεν οὐδέν ἐλλεῖπον· ἕν τοῦ ἑνός ἐστερέωσε τά ἀγαθά· καί τίς πλησθήσεται ὁρῶν δόξαν αὐτοῦ;

(≡15Ε_346≡> Βασιλ. - Εἰ δόξης ἐπιθυμεῖς, καί βούλει τῶν πολλῶν ὑπερβαίνεσθαι, καί εὐδόκιμος ἐν τοῖς κοσμικοῖς πράγμασι γίνεσθαι, ἔσο δίκαιος, σώφρων, φρόνιμος, ἀνδρεῖος, ὑπομονητικός ἐν τοῖς ὑπέρ εὐσεβείας παθήμασιν. Οὕτω γάρ καί σεαυτόν σώσεις, καί ἐπί μεῖζον ἀγαθοῖς μείζονα ἕξεις τήν περηφάνειαν.

Τόν προεστῶτα μή ἐπαιρέτω τό ἀξίωμα, ἵνα μή ἐκπέσῃ τοῦ μακαρισμοῦ τῆς παπεινοφροσύνης.

Ὄφειλεν ἄνθρωπον ἐν τῇ παρά Θεῷ δόξῃ μεμενηκέναι, καί εἶχεν ἄν ὕψος οὐκ ἐπίπλαστον, ἀλλ᾽ ἀληθινόν, δυνάμει Θεοῦ μεγαλυνόμενος. Ἐπειδή δέ τήν τῆς θείας δόξης ἐπιθυμίαν μετέθηκε, καί μείζονα προσδοκήσας, σπεύσας ὅπερ οὐκ ἠδύνατο λαβεῖν, ἀπώλεσεν ὅπερ ἔχειν ἠδύνατο.

Βούλομαί σοι σφοδρότερον τῆς κτίσεως ἐνιδρυνθῆναι τό θαῦμα. Πρῶτον μέν οὖν, ὅταν ἴδῃς βοτάνην χόρτου καί ἄνθος, εἰς ἔννοιαν ἔρχου τῆς ἀνθρωπίνης φύσεως, μεμνημένος τῆς εἰκόνος τοῦ σοφοῦ Ἡσαΐου, Ὅτι πᾶσα σάρξ χόρτος, καί πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου. Τό γάρ ὀλιγοχρόνιον τῆς ζωῆς, καί τό ἐν ὀλίγῳ περιχαρές καί ἱλαρόν τῆς ἀνθρωπίνης εὐημερίας, καιριωτάτης παρά τοῦ προφήτου τετύχηκε τῆς εἰκόνος. Σήμερον εὐθαλής τῷ σώματι, κατασαρκωμένος ὑπό τρυφῆς, ἐπανθοῦσαν ἔχων τήν εὔχροιαν, ὑπό τῆς κατά τήν ἡλικίαν ἀκμῆς σφριγῶν καί σύντονος, καί ἀνυπόστατος τήν ὁρμήν· αὔριον ὁ αὐτός οὗτος ἐλεεινός, (=936=) ἤ τῷ χρόνῳ μαρανθείς, ἤ νόσῳ διαλυθείς. Ὁ δεῖνα περίβλεπτος ἐπί χρημάτων περιουσίᾳ, καί πλῆθος περί αὐτόν κολάκων, δορυφορία φίλων προσποιητῶν, τήν ἐπ᾽ αὐτοῦ χάριν θεραπευόντων· πλῆθος συγγενείας, καί ταύτης κατεσχηματισμένης· ἐσμός τῶν ἐφεπομένων μυρίος, τῶν τε ἐπισιτίων, καί τῶν κατά τάς ἄλλας χρείας αὐτῷ προσδευόντων· οὕς καί προϊών, καί πάλιν ἐπανιών ἐπισυρόμενος, ἐπίφθονός ἐστιν τοῖς ἐντυγχάνουσιν. Πρός δέ τῷ πλούτῳ εὔροις καί πολιτικήν τινα δύναμιν, ἤ καί τάς ἐκ τῶν βασιλέων τιμάς, ἐθνῶν (≡15Ε_348≡> ἐπιμέλειαν, ἤ καί στρατοπέδων ἡγεμονίαν, καί τόν κήρυκα μέγα βοῶντα προϊόντα πρό αὐτοῦ· τούς ῥαβδοφόρους ἔνθεν καί ἔνθεν βαρυτάτην κατάπληξιν τοῖς ἀρχομένοις ἐμβάλλοντας· τάς πληγάς, τάς δεσμεύσεις,

ἐπαγωγάς, τά δεσμωτήρια, ἐξ ὧν ἀφόρητος ὁ παρά τῶν ὑποχειρίων συναθροίζεται φόβος. Καί τί μετά τοῦτο; μία νύξ, ἤ πυρετός, ἤ πλευρῖτις, ἤ περιπνευμονία, ἀνάρπαστον ἐν ἀνθρώπων ἀπάγουσα τόν ἄνθρωπον οἴχεται, πᾶσαν τήν κατ᾽ αὐτόν σκηνήν ἐξαπίνης ἀπογυμνώσασα· καί ἡ δόξα ἐκείνη ὥσπερ ἐνύπνιον ἀπηνέχθη. Ὥστε ἐπιτετεῦχθαι τῷ προφήτῃ, ἡ πρός τό ἀδρανέστατον ἄνθος ὁμοίωσις τῆς ἀνθρωπίνης δόξης.

Θεολόγου.

Δόξης ἀεί φρόντιζε τῆς αἰωνίου.
Ἡ γάρ παροῦσα φεύδεται καθ᾽ ἡμέραν.
Δόξαν δίωκε, μήτε πᾶσαν, μήτ᾽ ἄγαν.
Κρεῖσσον γάρ εἶναι τοῦ δοκεῖν. Εἰ δ᾽ ἄμετρος εἶ,
Μή τήν κενήν θήρευε, μηδέ τήν νέαν.

Χρυσοστ. - Εἰ γάρ ὑπέρ ἀξιώματός τις βιωτικοῦ ὅλην πολλάκις τήν οὐσίαν ἐπέδωκεν· ὑπέρ τῆς μελλούσης δόξης καί ἀναφαιρέτου, τί γένοιτ᾽ ἄν ἡμῶν ἀθλιώτερον, μηδέ ὀλίγα προϊεμένων;

Ἡ μέν γάρ παρά τῶν ἀνθρώπων δόξα τῶν δοξαζόντων μιμεῖται τήν εὐτέλειαν, ὅθεν καί μεταπίπτει ῥᾳδίως. Ἡ δέ τοῦ Θεοῦ, οὐχ οὕτως· ἀλλ᾽ ἀκίνητος μένει διηνεκῶς. Καί ταῦτ᾽ ἀμφότερα δηλῶν ὁ προφήτης, κἀκείνης τό εὐμετάπτωτον, καί ταύτης τό μόνιμον, οὕτως ἔλεγεν, Πᾶσα σάρξ χόρτος, καί πᾶσα δόξα ἀνθρώπου ὡς δόξα χόρτου. Ἅπασαν τήν ἀνθρωπίνην εὐημερίαν, οὐδέ πρός χόρτον, ἀλλ᾽ ἑτέραν ὅλην εὐτελεστέραν ὁ προφήτης παρέβαλεν, ἄνθος αὐτήν ὀνομάσας χόρτου. Οὐδέν γάρ μέρος αὐτῶν προέθηκεν, οἷον πλοῦτον, ἤ τρυφήν, ἤ (≡15E_350≡> δυναστείαν, ἤ τιμήν, ἤ τι τοιοῦτον· ἀλλά πάντα τά ἐν ἀνθρώποις λαμπρά, μιᾷ προσηγορίᾳ τῇ τῆς δόξης περιβαλών, οὕτως ἐπήγαγεν τήν εἰκόνα τοῦ χόρτου, εἰπών, Πᾶσαν δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου· ἐξηράνθη χόρτος, καί τό ἄνθος ἐξέπεσεν.

Κυρίλλου. - Φύσει μέν γάρ χόρτου, φησίν, ἔοικε τῶν ἀνθρώπων τό γένος· ἄνθη δέ χόρτου, (=937=) ἡ ἐπιγενομένη δόξα καί δυναστεία. Καί καθάπερ τοῦ χόρτου ξηραινομένου, τό ἄνθος ἐκπίπτει· οὕτω τοῦ θανάτου τοῖς ἀνθρώποις ἐπιόντος, ἡ δυναστεία καί ἡ ὑπερηφάνει σβέννυται.

Πλουτάρχ. - Τά μέν φυτά ἀπό τῆς ῥίζης, ἡ δέ δόξα, ἀπό τῆς πρώτης λήψεως αὔξει.

Οὐδείς φροντίζων δόξης ἀγαθῆς, γένοιτ᾽ ἄν ἀνήρ φαῦλος· καλόν δέ, ἀντί βραχείας ἀπολαύσεως ἀλλάξασθαι δόξαν αἰώνιον.

Ἀριστοτέλ. - Ἀξίωμα μέγιστόν ἐστιν, οὐ τό κεχρῆσθαι τιμαῖς, ἀλλά τό ἄξιον ἑαυτόν[ἴσ. αὐτῶν] εἶναι νομίζεσθαι.

Ἰσοκράτ. - Ὧν τάς δόξας ζηλοῖς, τούτων καί τά ἀγαθά πράξῃς.

Ἴνδος τοξευτής. - Τόν Ἴνδον τόν μέγιστα δοκοῦντα, καί λεγόμενον διά δακτυλίου τόν ὀϊστόν ἀφιέναι, ἐκέλευσεν ἐπιδείξασθαι· καί μή βουλόμενον, ὀργισθείς ἀνελεῖν προσέταξεν. Ἐπεί δέ ἀπαγόμενος ὁ ἄνθρωπος ἔλεγε πρός τούς ἄγοντας, ὅτι Πολύς χρόνος ἐστίν ἀφ᾽ οὗ ἐπί χεῖρας τόξον οὐκ ἔλαβον, καί τό ἀποτυχεῖν ἐφοβήθην. Ἀκούσας ταῦτα

Ἀλέξανδρος, ἐθαύμασε καί ἀπέλυσε μετά δώρων αὐτόν, ὅτι μᾶλλον ἀποθανεῖν ὑπέμεινεν, ἤ τῆς δόξης ἀνάξιος φανῆναι.

Θεοφράστ. - Οὐ γάρ ἐξ ὁμιλίας δεῖ καί χάριτος τάς τιμάς, ἐλλ᾿ ἐκ τῶν πράξεων λαμβάνειν.

Ἡρακλ. - Συντομωτάτην ὁδόν ὁ αὐτός ἔλεγεν εἰς εὐδοξίαν, τό γενέσθαι ἀγαθόν.

(≡15E_352≡> Φίλωνος. - Ὁ μαθών ἄρχεσθαι, καί ἄρχειν εὐθύς μανθάνει. Οὐδέ γάρ εἰ πάσης γῆς καί θαλάσσης τό κράτος ἀνάψαιτό τις, ἄρχων ἄν εἴη πρός ἀλήθειαν, εἰ μή μάθῃ καί προπαιδευθείη τό ἄρχεσθαι.

Ἰωσήππου Ἀρχαιολ. - Πάντες οἱ ἄρχεσθαι καλῶς μεμαθηκότες, καί ἄρχειν εἴσονται παρελθόντες εἰς ἐξουσίαν.

ΛΟΓΟΣ ΜΖ΄.

## Περί γλωσσαλγίας.

(≡15E_354≡> Ματθ. ιβ΄. - Λέγω δέ ὑμῖν, ὅτι πᾶν ῥῆμα, ὅ ἐάν λαλήσωσιν οἱ ἄνθρωποι, ἀποδώσουσι λόγον περί αὐτοῦ. Ἐκ γάρ τῶν λόγων σου δικαιωθήσῃ, καί ἐκ τῶν λόγων σου κατακριθήσῃ.

Ἰάκ. ια' . - Ἔστω πᾶς ἄνθρωπος ταχύς εἰς τό ἀκοῦσαι, καί βραδύς εἰς τό λαλῆσαι.

Σιράχ η΄. - Γλωσσώδει ἀνθρώπῳ μή διαμάχου μηδέ ἐπιστοίβαζε ἐπί τό πῦρ αὐτοῦ ξύλα.

Παροιμ. ιγ' . - Ὅς φυλάσσει τό ἑαυτοῦ στόμα, τηρεῖ τήν ἑαυτοῦ ψυχήν.

Παροιμ. στ΄. - Παγίς ἀνδρί ἰσχυρά, τά ἴδια χείλη· ἁλίσκεται δέ ῥήμασιν ἰδίου στόματος.

Παροιμ. ι' . - Ὁ ἄστεγος χείλεσιν, σκολιάζων ὑποσκελισθήσεται.

(=940=) Παροιμ. κβ΄. - Βόθρος βαθύς στόμα παρανόμου· ὁ δέ μισηθείς ὑπό Θεοῦ, ἐμπεσεῖται εἰς αὐτόν.

Παροιμ. κ΄. - Ἐν πολλοῖς ξύλοις θάλλει πῦρ· στόμα δέ ἄστεγον ποιεῖ ἀκαταστασίαν.

Σιράχ κβ΄. - Τίς δώσει ἐπί τοῦ στόματός μου φυλακήν, καί ἐπί τῶν χειλέων μου σφραγίδα; ἵνα μή ἐμπέσω ἀπ᾿ αὐτῆς, καί ἡ γλῶσσά μου ἀπολέσῃ με.

Σιράχ λ' . - Ἀγαθά κεχυμένα ἐπί στόματι κεκλεισμένῳ.

Βασιλ. ΄- Μή πάντα θάῤῥει τῇ γλώσσῃ, ἵνα μή πάθῃς ἀκαίρως, καθάπερ ὀφθαλμός ὅλον τόν ἥλιον θέλων ἀποβλέψαι, ἀπόλλει καί ὅ ἔχει φῶς.

(≡15E_356≡> Θεολόγου. - Ὄλισθος ἀνθρώποις, γλῶσσα λόγῳ μή κυβερνωμένη.

Χρυσόστ. - Λόγος ἁπλῶς προενεχθείς, ὁλοκλήρους ἀνέτρεψεν οἰκίας· καί ψυχάς ἀνέστρεψε καί κατέδυσε· καί τῶν μέν χρημάτων τήν

ζημίαν διορθοῦσθαι πάλιν εἴη· λόγον δέ ἐκπηδήσαντα ἅπαξ, ἀνακτῆσαι πάλιν οὐκ εἴη.

Κυρίλλου. - Μή χελιδόνας οἰκίαις δέχεσθαι· τουτέστι λάλους ἀνθρώπους καί περί γλῶσσαν ἀκρατεῖς ὁμοροφίους μή ποιεῖσθαι.

Εὐαγρίου. - Λάλει ἅ δεῖ, καί ὅτι δεῖ, καί περί ὧν δεῖ, καί οὐκ ἀκούσεις ἅ μή δεῖ.

Νείλου. - Εἰ κρατεῖς γαστρός, κράτει καί γλώσσης· ἵνα μή τῆς μέν ὑπάρχῃς δοῦλος, τῆς δέ τυγχάνῃς ἀνοήτως ἐλεύθερος.

Ἰσοκράτ. - Πᾶν ὅ τι ἄν μέλλεις ἐρεῖν, πρότερον ἐπισκόπει τῇ γνώμῃ· πολλοῖς γάρ ἡ γλῶσσα προτρέχει τῆς διανοίας.

Ἰσοκράτης ὁ ῥήτωρ, Καρεῶνος ὄντος λάλου, καί σχολάζειν παρ᾿ αὐτῷ βουλομένου, διττούς ᾔτησε μισθούς. Τοῦ δέ τήν αἰτίαν πυθομένου, Ἕνα μέν, ἔφη, ἵνα λαλεῖν μάθῃς· τό δέ ἕτερον, ἵνα σιγᾷν.

Κλειτάρχ. - Ὅ μή θέλῃς ἀκούειν, μηδέ εἴπῃς· ὅ μή θέλῃς λέγειν, μηδέ ἄκουε· ὤτων καί γλώττης μέγας ὁ κίνδυνος.

Σωκράτης. - Κρεῖττον εἶναι τῷ ποδί ὀλισθαίνειν, ἤ τῇ γώσσῃ.

Δημόνακτ. - Τοῖς ὠσί πλέον, ἤ τῇ γλώττῃ χρῶ.

Δημοσθ. - Ἐν συμποσίῳ πρός τόν πολλά λαλοῦντα, Εἰ τοσαῦτα, ἔφη, ἐφρόνεις, οὐκ ἄν τοσαῦτα ἐλάλεις.

Ἐρωτηθείς δέ, Διατί μίαν γλῶσσαν ἔχομεν, ὦτα δέ δύο; εἶπεν, Ὅτι διπλάσιον δεῖ ἀκούειν τοῦ λέγειν.

(=941=) Πλάτων. - Πλάτων, Ἀντισθένους ἐν τῇ διατριβῇ ποτε μακρολογήσαντος, (≡15Ε_358≡> Ἀγνοεῖς, εἶπεν, ὅτι τοῦ λόγου μέτρον ἐστίν, οὐχ ὁ λέγων, ἀλλ᾿ ὁ ἀκούων;

Νικοστράτ. - Εἰ ἐπί τῷ συνεχῶς καί πολλά καί ταχέως λαλεῖν ἦν τοῦ φρονεῖν παράσημον, αἱ χελιδόνες ἐλέγοντ᾿ ἄν ἡμῶν φρονιμώτεραι.

Ἐκ τῶν Ἐπικτήτου καί Ἰσοκράτ. - Γλῶσσαν μίαν τοῖς ἀνθρώποις ἡ φύσις δέδωκεν, δύο δέ ὦτα, ἵνα διπλασίονα ὧν λέγομεν, παρ᾿ ἑτέρων ἀκούωμεν.

Πυθαγόρ. - Ξίφους πληγή κουφοτέρα γλώσσης· τό μέν γάρ, σῶμα, ἡ δέ ψυχήν τιτρώσκει.

Αἴσωπος. - Οὗτος ἐρωτηθείς, Τί ἐστιν ἐν ἀνθρώποις ἀγαθόν τε καί φαῦλον; ἔφη, Γλῶσσα.

Δημοκρίτ. - Πλεονεξίη τά πάντα λέγειν, καί μηδέν ἐθέλειν ἀκούειν.

Ἀπολλονίου. - Πολυλογία πολλά σφάλματα ἔχει· τό δέ σιγᾷν, ἀσφαλές.

Ὁ αὐτός τούς ῥήτορας ἔφη ὁμοίους εἶναι τοῖς βατράχοις· τούς μέν γάρ ἐν ὕδασι κελαδεῖν, τούς δέ πρός κλεψύδραν.

Λύκωνος. - Καθάπερ αἱ χελιδόνες τῇ συνεχεῖ τῆςλαλιᾶς, τήν ἡδονήν τῆς ὁμιλίας ἀποβάλλουσιν· οὕτω οἱ ἀδολέσχαι ὀχλήσεις συνεχεῖς ποιούμενοι, ἀηδεῖς ἀποφαίνονται τοῖς ἀκροωμένοις.

Νομικῷ φλυάρῳ ἔφη τις, Οὐ δεῖ ἐν πολλοῖς λέγειν ὀλίγα, ἀλλ᾿ ἐν ὀλίγοις πολλά.

ΛΟΓΟΣ ΜΗ΄.

## Περί προνοίας.

(≡15Ε_360≡> Ματθ. ι΄. - Οὐχί δύο στρουθία ἀσσαρίου πωλεῖται; καί ἕν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπι τήν γῆν ἄνευ τοῦ Πατρός ὑμῶν. Ὑμῶν δέ καί αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι ἠριθμημέναι εἰσίν.

Ῥωμ. ια' . - Ὦ βάθος πλούτου καί σοφίας καί γνώσεως Θεοῦ! Ὡς ἀνεξερεύνητα τά κρίματα αὐτοῦ, καί ἀνεξεχνίαστοι αἱ ὁδοί αὐτοῦ.

Σολομ. ιβ΄. - Σύ δεσπόζων ἰσχύος ἐν ἐπιεικεία κρίνεις, καί μετά πολλῆς φειδοῦς διοικεῖς ἡμᾶς.

Σιρ. ιστ΄. - Μή εἴπης, Ἀποκρυβήσομαι, καί ἐξ ὕψους τίς μου μνησθήσεται; Ἰδού ὁ οὐρανός καί ὁ οὐρανός τοῦ οὐρανοῦ· ἄβυσσος καί γῆ καί τά ἐν αὐτοῖς, τῇ ἐπισκοπῇ αὐτοῦ σαλευθήσεται. Τάς ὁδούς αὐτοῦ τίς ἐνθυμηθήσεται; καταιγίς ἥν οὐκ ὄψεται ἄνθρωπος· καί τά πλείονα τῶν ἔργων αὐτοῦ ἐν ἀποκρύφοις.

Βασιλ. - Πᾶν ὅπερ εἰς ἡμᾶς ἐκ θείας δυνάμεως ἀγαθόν φθάσῃ, τῆς πάντα ἐνεργούσης χάριτος ἐνέργειαν εἶναί φαμεν.

Οὐδέν ἀπρονόητον οὐδέ ἠμελημένον παρά τῷ Θ.εῶ. Πάντα σκοπεύει ὁ ἀκοίμητος ὀφθαλμός· πᾶσι πάρεστι, πορίζων ἑκάστῳ τήν σωτηρίαν.

Θεολ. - Πολλάκις παραδόξους σωτηρίας οἶδε τό Θεῖον καινοτομεῖν, νεῦον πρός τό φιλάνθρωπον τῇ ἑαυτοῦ προνοίᾳ.

Χρυσοστ. - Οὐδείς οὕτως ἑαυτοῦ φείδεται, (=944=) ὡς (≡15Ε_362≡> πάντων ἡμῶν ὁ Θεός· πολλῷ γάρ ἡμῶν αὐτός βούλεται μᾶλλον, μηδέν ἡμᾶς πάσχειν κακόν.

Οὐκ οἶδας σύ τά συμφέροντα, ἄνθρωπε. Πολλάκις αἰτεῖς ἐπιβλαβῆ καί σφαλερά· ἀλλ᾽ ἐκεῖνος ὁ μᾶλλον κηδόμενός σου τῆς σωτηρίας, οὐ τῇ αἰτήσει σου προσέχει· ἀλλά πρό τῆς αἰτήσεως τό συμφέρον σοι πανταχοῦ προνοεῖται. Εἰ γάρ οἱ πατέρες αἱ σαρκικοί οὐ πάντα αἰτοῦσι τοῖς παισί διδόασιν, οὐκ ἐπειδή καταφρονοῦσι τῶν αἰτούντων, ἀλλ᾽ ἐπειδή αὐτῶν μᾶλλον κήδονται· πολλῷ μᾶλλον ὁ Θεός, ὁ καί μᾶλλον φιλῶν καί πλέον ἁπάντων εἰδώς, τό συμφέρον ἡμῖν ποιεῖ.

Διδύμ. - Πάντων τῶν λογικῶν ἐπιστάμενος τό κρυπτόν ὁ Δημιουργός, προνοεῖται τῶν ὅλων, οὐ μόνον ἐξ ὧν διάκεινται καί πράττουσιν, ἀλλά καί ἐξ ὧν προγινώσκει ἄγων τήν βελτίωσιν.

Τοῦ μακαρίου Ἐφραίμ. - Τόν κόσμον ὁ Θεός ἀνεξικακίᾳ ἐπισκοπεῖ, τό μέλλον αἰνιττόμενος, καί τό παρόν κακόν ὅροις στοιχίζων· ἐκ μέν τῆς ἀποφάσεως χαλινῶν τήν πονηρίαν· διά δέ τῆς συνειδήσεως τάς ἐναγεῖς καί πονηράς διανοίας τιμωρούμενος.

Ἐπικούρου. - Χάρις τῇ μακαρίᾳ φύσει, ὅτι τά ἀναγκαῖα ἐποίησεν εὐπόριστα· τά δέ δυσπόριστα, οὐκ ἀναγκαῖα.

Σωκράτης.

Εἰ τό μέλλειν δύνανταί τι, μέριμνα καί μελέτω σοι.

Εἰ δέ μέλει περί σοῦ δαίμονι, σοί τί μέλει;

Πλάτων. - Ὅταν βούληται Θεός εὖ πρᾶξαι πόλιν, ἄνδρας ἀγαθούς ἐποίησεν· ὅταν δέ μέλλῃ κακῶς πράξειν πόλις, ἐξεῖλε τούς ἄνδρας τούς ἀγαθούς ἐκ ταύτης τῆς πόλεως. Οὕτως ἔοικεν οὔτε διδακτόν εἶναι, οὔτε φύσει, ἀρετή· ἀλλά θείᾳ μοίρᾳ παραγίνεται κτωμένοις.

Ὁ Θεός πάντα, καί μετά Θεοῦ τύχη καί καιρός, τά ἀνθρώπινα διακυβερνῶσι συμπάντα.

ΛΟΓΟΣ ΜΘ΄.

## Περί ταπεινοφροσύνης.

(≡15E_364≡> Λουκ. ιδ΄. - Πᾶς ὁ ὑψῶν ἑαυτόν, ταπεινωθήσεται· καί ὁ ταπεινῶν ἑαυτόν, ὑψωθήσεται.

Ῥωμ. ιβ' . - Μή τά ὑψηλά φρονοῦντες, ἀλλά τοῖς ταπεινοῖς συναπαγόμενοι.

Παροιμ. κθ΄. - Τούς ταπεινοφονοῦντας ἐγερεῖ δόξῃ Κύριος.

Σιράχ γ΄. - Ὅσον μέγας εἶ, τοσοῦτον ταπείνωσον σαυτόν, καί ἔναντι Κυρίου εὑρήσεις χάριν· ὅτι μεγάλη ἡ δύναμις Κυρίου, καί ὑπό τῶν ταπεινῶν δοξασθήσεται.

Βασιλείου. - Ἀμήχανον τόν μή καταδεξάμενον (945) τό πρός πάντας ὑποδεἰς καί ἔσχατον, δυνηθῆναί ποτε, ἤ λοιδορούμενον, θυμοῦ κρατῆσαι· ἤ θλιβόμενον, διά μακροθυμίας περιγένεσθαι τῶν πειρασμῶν.

Γυμνάσιον ταπεινοφροσύνης ἐστίν ἡ ἐν τοῖς εὐτελελεστέροις πράγμασι διατριβή, τό πάθος τῆς φιλοδοξίας θεραπεύουσα.

Θεολόγου. - Κρεῖσσον ὄντα σοφόν ὑφίεσθαι δι᾿ ἐπιείκειαν, ἤ ἀμαθῶς ἔχοντα διά θράσος ὑπερεκτείνεσθαι.

Μή ἐν ἐσθῆτι τό ταπεινόν ἔχωμεν μόνον, ἀλλά ἐν ψυχῆς καταστήματι· μηδέ θρύψις αὐχένος, ἤ φωνῆς ὕφεσις, ἤ προσώπου νεῦσις, ἤ βάθος ὑπήνης, ἤ βαδίσματος ἦθος τό ταπεινόν ὑποκρίνοιτο, τά πρός ὀλίγον τυπούμενα καί τάχιστα ἐλεγχόμενα. Πᾶν γάρ ὅ προσποιητόν, οὐδέ μόνιμον· ἀλλ᾿ ὦμεν ὑψηλοί μέν τῷ βίῳ, ταπεινοί δέ τῷ φρονήματι· καί τήν μέν ἀρετήν ἀπρόσιτοι, (≡15E_366≡> τήν συνουσίαν δέ καί λίαν εὐπρόσοδοι. Πολιτικοῦ μέν γάρ ἔργον εἶναι πάντα ποιεῖν καί λέγειν, ἐξ ὧν εὐδοκιμήσει παρά τῶν ἔξωθεν· τοῦ πνευματικοῦ δέ καί καθ᾿ ἡμᾶς, πρός ἕν μόνον βλέπειν, τήν σωτηρίαν· ἥ τε ἁπλότης καί τό τοῦ ἤθους ἄδολόν τε καί ἀμνησίκακον.

Χρυσοστ. - Οὐδέν οὕτω τῷ Θεῷ φίλον, ὡς μετά τῶν ἐσχάτων ἑαυτόν ἀριθμῆσαι.

Μηδείς ἄπονον οἰέσθω καί μετά ῥᾳστώνης ἐκποριζόμενον τό τῆς ταπεινοφοσύνης κατόρθωμα. Ἐμπέφυκε γάρ τό κατά τήν ἔπαρσιν πάθος παντί σχεδόν τῷ κοινωνοῦντι τῆς ἀνθρωπίνης φύσεως· διό πάντων τῶν κατ' ἀρετήν ἐπιτηδευμένων τοῦτό ἐστιν ἐπιπονώτερον.

Κλήμεντ. - Τοσοῦτόν τις μᾶλλον ὀφείλει ταπεινοφρονεῖν, ὅσον δοκεῖ μᾶλλον εἶναι· καλόν γάρ ἀεί τῷ κρείττονι τό χεῖρον ἀκολουθεῖν διά βελτιώσεως ἐλπίδα.

Νείλου. - Μακάριος ὁ τόν βίον ὑψηλόν ἔχων, ταπεινόν δέ τό φρόνημα.

Ἐκ τῶν Πατέρων. - Συναναστρέφου τοῖς ἔχουσι ταπείνωσιν, καί μαθήσει τούς τρόπους αὐτῶν. Εἰ γάρ ἡ θεωρία τῶν εἰρημένων ὠφέλιμος, πόσῳ μᾶλλον ἡ διδασκαλία τοῦ στόματος αὐτῶν;

Ἰσοκράτ. - Νόμῳ καί ἄρχοντι, καί τῷ σοφοτέρῳ εἴκειν κόσμιον.

(=948=) Σωκράτης. - Ἐν μέν τῷ πλεῖν, πείθεσθαι δεῖ τῷ κυβερνήτῃ· ἐν δέ τῷ ζῆν, τῷ λογίζεσθαι δυναμένῳ βέλτιον.

ΛΟΓΟΣ Ν΄.

## Περί ἰατρῶν.

(≡15Ε_368≡> Ματθ. θ΄. - Οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ᾽ οἱ κακῶς ἔχοντες.

Ἑβραί. ιβ΄. - Τροχίας ὀρθάς ποιήσατε τοῖς ποσίν ὑμῶν, ἵνα μή τό χωλόν ἐκτραπῇ, ἰαθῇ δέ μᾶλλον.

Σιράχ λη΄. - Ἐπιστήμη ἰατροῦ ἀνυψώσει καφαλήν αὐτοῦ· καί ἔναντι μεγιστάνων θαυμαστωθήσεται.

Παροιμ. ιδ' . - Πραΰθυμος ἀνήρ, καρδίας ἰατρός.

Βασιλείου. - Οὔτε φευκτέον πάντη τήν τέχνην, οὔτε ἐπ᾽ αὐτῇ πάσας τάς ἐλπίδας ἔχειν ἀκόλουθον· ἀλλ᾽ ὡς κεχρήμεθα μέν τῇ γεωργικῇ· αἰτούμεθα δέ παρά τῷ Θεῷ τούς καρπούς· καί τῷ κυβερνήτῃ μέν τό πηδάλιον ἐπιτρέπομεν, τῷ Θεῷ δέ προσευχόμεθα ἐκ τοῦ πελάγους ἀποσωθῆναι, οὕτω καί τόν ἰατρόν εἰσάγοντες, τῆς πρός Θεόν ἐλπίδος οὐκ ἀφιστάμεθα.

Ἀνεπιστήμων ἰατρός πρός κάμνοντας εἰσιών, ἀντί τοῦ εἰς ὑγείαν αὐτούς ἐπαναγαγεῖν, καί τό μικρόν λείψανον τῆς δυνάμεως ἀφαιρεῖται.

Θεολόγ. - Τήν καθ᾽ ἡμᾶς ἰατρικήν τῆς περί τά σώματα ἐργωδεστέραν τίθεμαι μακρῷ, καί διά τοῦτο τιμιωτέραν· καί ὅτι ἐκείνους ὀλίγα τῶν ἐν τῷ βάθει κατοπτεύουσι, περί τό φαινόμενον ἧ πλεῖον τῆς πραγματείας· ἡμῖν δέ περί τόν κρυπτόν τῆς καρδίας ἄνθρωπον ἡ πᾶσα θεραπεία τε καί σπουδή.

Χρηΐζων παθέεσσ' ἀκορέστως, ἥν κακά κεύθῃ,
Οὔποτε σηπεδόνα φεύξεται ἀργαλέην.

(≡15Ε_370≡> Χρυσοστ. - Οἶμαι τούς ἀρχαίους τῶν ἰατρῶν οὐχ ἁπλῶς οὐδέ ἀλόγως νομοθετῆσαι δημοσιεύεσθαι τήν τῶν ποικίλων ἐργαλείων ἐπίδειξιν· ἀλλ᾽ ἵνα τούς ὑγιαίνοντας ἀσφαλίζωνται, προδεικνύντες αὐτοῖς ὁπόσων ἀτακτοῦντες δεήσονται.

Γρηγ. Νύσσης. - Ὅσον κρεῖσσον ψυχή τοῦ σώματος, τοσούτῳ τιμιώτερον τῶν τά σώματα θεραπευόντων, ὁ τάς ψυχάς ἐξιώμενος.

Διδύμου. -Τέλειον ἰατρόν λέγομεν, οὐ τόν θεραπεύοντα πάντας, ἀλλά τόν μηδέν τῶν εἰς ὠφέλειαν ἡκόντων καί θεραπείαν παραλείποντα.

Τρόφιλος. - Τρόφιλος ἰατρός ἐρωτηθείς ὑπό τινος, Τίς ἄν γένοιτο τέλειος ἰατρός, Ὁ τά δυνατά, ἔφη, καί τά μή δυνατά δυνάμενος διαγινώσκειν.

Νικοκλέους. - Νικοκλῆς κακοῦ τινος ἰατροῦ λέγοντος, ὅτι μεγάλην ἔχει δύναμιν, ἔφη, Πῶς γάρ οὐ μέλλεις λέγειν, ὅς τοσούτου ἀνηρηκώς ἀνεύθυνος γέγονας;

Ὁ αὐτός τούς ἰατρούς εὐτυχεῖς ἔλεγεν, ὅτι τάς (=949=) μέν ἐπιτυχίας αὐτῶν ὁ ἥλιος ὁρᾷ· τάς δέ ἀποτυχίας ἡ γῆ καλύπτει.

Στρατονικ. - Στρατόνικος ἰατρόν κολακεύων, ἔλεγεν, Ἐπαινῶ σου τήν ἐμπειρίαν, ὅτι οὐκ ἐᾷς τούς ἀῤῥώστους κατασαπῆναι· τάχιον αὐτούς τοῦ ζῆν ἀπαλλάσων.

Δημονάκτ. - Τοῖς Ἀσκληπιάδαις μείζων ὀφείλεται χάρις ἐπερχομένην ἀναστέλλουσι· νόσον, ἤ παραπεσοῦσαν ἰασαμένοις, τοῦ γάρ ἀπηλλάχθαι κακοῦ τό μή πάσχειν εἱρετώτερον.

ΛΟΓΟΣ ΝΑ΄.

## Περί πίστεως.

(≡15E_372≡> Ματθ. ιζ΄. - Ἀμήν λέγω ὑμῖν, ἐάν ἔχετε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ, Μετάβηθι ἐντεῦθεν ἐκεῖ, καί μεταβήσεται· καί οὐδέν ἀδυνατήσει ὑμῖν.

Ἐφ. β΄. - Χάριτί ἐστε σεσωσμένοι διά τῆς πίστεως, καί τοῦτο οὐκ ἐξ ὑμῶν· Θεοῦ τό δῶρον, οὐκ ἐξ ἔργων, ἵνα μή τις καυχήσηται.

Ἑβρ. ια΄. - Πίστις ἐστίν ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγχος οὐ βλεπομένων.

Παροιμ. ιβ'. - Ἐπιδεικνυμένην πίστιν ἀναγγελεῖ δίκαιος.

Σιράχ ια΄. - Πίστευε τῷ Κυρίῳ, καί ἔμμενε τῷ πόνῳ σου· ὅτι κοῦφον ἐν ὀφθαλμοῖς Κυρίου ἐξάπινα πλουτίσαι πένητα.

Σιράχ β' . - Δόσις Κυρίου παραμενεῖ εὐσεβέσι· πίστευσον αὐτῷ, καί ἀντιλήψεταί σου.

Βασιλ. - Πίστις ἡγείσθω τῶν περί Θεοῦ λόγων. Πίστις, καί μή ἀπόδειξις. Πίστις ἡ ὑπέρ τάς λογικάς μεθοδείας τήν ψυχήν εἰς συγκατάθεσιν ἕλκουσα· πίστις, οὐχ ἡ γεωμετρικαῖς ἀνάγκαις, ἀλλά ταῖς τοῦ Πνεύματος ἐνεργείαις ἐγγινομένη.

Πίστις ἐστί συγκατάθεσις ἀδιάκριτος τῶν ἀκουσθένων ἐν πληροφορίᾳ τῆς ἀληθείας τῶν κηρυχθέντων, Θεοῦ χάριτι, ἥντινα ἐπεδείξατο Ἀβράαμ, μαρτυρηθείς, ὅτι Οὐ διεκρίθη τῇ ἀπιστίᾳ, ἀλλ᾽ ἐνεδυναμώθη τῇ πίστει, δούς δόξαν τῷ Θεῷ, καί (≡15E_374≡> πληροφορηθείς ὅτι ὅ ἐπήγγελται Θεός, δυνατός ἐστι καί ποιῆσαι.

Θεολ. - Τό γάρ οὐκ ἐφικτόν, οὐδέ πιστόν πως διά τόν φθόνον. Ψυχαῖς γάρ βεβήλοις οὐδέν τῶν καλῶν ἀξιόπιστον.

Χρυσοστ. - Τοῦτο μάλιστα πίστεως, μή ζητεῖν εὐθύνας τῶν πραττομένων, ἀλλά πείθεσθαι τοῖς ἐπιταττομένοις.

(=952=) Τόν εὐσεβῆ καί πιστόν ἄνδρα οὕτω βεβαίως διακεῖσθαι χρή πρός τάς ἐπαγγελίας τοῦ Θεοῦ, ὥστε κἄν ἐναντία αὐτοῖς φαίνεται τά γινόμενα, μηδέ οὕτως ταράττεσθαι, μηδέ ἀπογινώσκειν τήν ἔκβασιν. Ὅρα γοῦν ὁ πιστός Ἀβραάμ τίνα μέν ὑπόσχεσιν ἐδέξατο, τίνα δέ πράττειν ἠναγκάζετο.

Πίστις μήτηρ καί στεφάνη καί συμπεραίωσις τῶν ἀρετῶν ὑπάρχει.

Καθάπερ γάρ ῥίζης μή πεφυτευμένης, οὐκ ἄν βλαστήσειε καρπός· οὕτω πίστεως μή προκαταβεβλημένης, οὐκ ἄν προέλθοι διδασκαλίας λόγος.

Γρηγορ. Νύσ. - Πίστις μόνη κρατεῖ τόν ἀκράτητον· πίστις μόνη κατανοεῖ τόν ἀθέατον· πίστις μόνη προσπελάζει τῷ ἀπροσπελάστῳ, ὅσον ἐγχωρεῖ καί ὅσον ἐνδέχεται.

Κυρίλλου. - Τό πίστει παραδεκτόν, ἀπολυπραγμόνητον εἶναι χρή. Τό γάρ βασανοζόμενον πῶς ἔτι πεπίστευται;

Ἀριστοτ. - Ὥσπερ γασίν ἐν ἰατρικῇ, τά μή καθαρά τῶν σωμάτων ὁπόσῳ ἀν θρέψῃς, μᾶλλον βλάψεις ὕλην ἀποβαλών τῇ κακοχυμίᾳ· οὕτω καί ψυχήν μοχθηροῖς δόγμασι προκατειλημμένην, ὁπόσῳ ἄν διδάξῃς, μᾶλλον βλάψεις μείζονας ἀρχάς αὐτῇ τῆς ψευδοδοξίας παρέχων.

ΛΟΓΟΣ ΝΒ΄.

## Περί μνήμης

(≡15Ε_376≡> Λουκ. κβ΄. - Τοῦτό ἐστι τό σῶμα μου, τό ὑπέρ ὑμῶν διδόμενον· τοῦτο ποιεῖτε εἰς τήν ἐμήν ἀνάμνησιν.

Α΄Τιμ. β΄. - Μνημόνευε Ἰησοῦν Χριστόν ἐγηγερμένον ἐκ νεκρῶν.

Παροιμ. ι' . - Μνήμη δικαίου μετ᾽ ἐγκωμίων· ὄνομα δέ ἀσεβῶν σβέννυται.

Σιράχ ζ΄. - Ἐν πᾶσι τοῖς ἔργοις σου μιμνήσκου τά ἔσχατά σου, καί οὐχ ἁμαρτήσεις.

Βασιλείου. - Ἀμήχανον ἐκτραπῆναι τῆς δικαίας ὁδοῦ, μή λήθην Θεοῦ ταῖς ψυχαῖς νοσήσαντας.

Μνήμη ἐστίν ἡ τοῦ γνωσθέντος τήρησις· ἀνάμνησις, ἡ τοῦ ἀπελθόντος ἀνάληψις.

Θεολόγου. - Μνημονευτέον Θεοῦ μᾶλλον, ἤ ἀναπνευστέον.

Τόν Θεόν ἔργοις μέν σέβου, λόγοις δέ ὕμνει, ἐννοίᾳ δέ τίμα.

Κλήμεντ. - Μνήμη θανάτου ἐναργής περιέκοψε βρώματα· βρωμάτων δέ ἐν ταπεινώσει κοπέντων, συνεξεκόπησαν πάθη.

Χρυσοστ. - Εὐσεβείας σημεῖον, τό συνεκῆ μνήμην ποιεῖσθαι τῶν θειοτέρων, καί τό πυκναῖς ἐντεύξεσιν ἐξιλεοῦσθαι τόν Θεόν.

(=953=) Εἰ εἰκόνα τις ἄψυχον ἀναθείς, παιδός ἤ φίλου ἤ συγγενοῦς, νομίζει παρεῖναι ἐκεῖνον τόν ἀπελθόντα, καί διά τῆς εἰκόνος αὐτόν

φαντάζεται τῆς ἀψύχου· πολλῷ μᾶλλον ἡμεῖς διά τῶν (≡15Ε_378≡> θείων Γραφῶν, τῆς τῶν ἁγίων παρουσίας ἀπολαύομεν, οὐχί τῶν σωμάτων αὐτῶν, ἀλλά τῶν ψυχῶν τάς εἰκόνας ἔχοντες. Τά γάρ παρ᾽ αὐτῶν εἰρημένα τῶν ψυχῶν αὐτῶν εἰκόνες εἰσίν.

Πλωτίνου. - Πλάτων ἔλεγε, τούς μέν νέους σφόδρα καί τούς γέροντας, ἀμνήμονας εἶναι· ὑποῤῥεῖν γάρ, τῶν μέν, διά τήν αὔξησιν, τῶν δέ, διά τήν φθίσιν. Ὁμοίως δέ καί τούς λίαν ταχεῖς ἤ βραδεῖς· τούς γάρ ὑγροτέρους εἶναι τοῦ δέοντος, τούς δέ, σκληροτέρους· καί τοῖς μέν οὐ μένειν ἐν τῇ ψυχῇ τά φαντάσματα, τῶν δέ οὐχ ἅπτεσθαι τό παράπαν.

Πλάτωνος ἐν Κρατύλ. - Μνήμη πάντη που μηνύει, ὅτι μονή ἐστιν ἐν τῇ ψυχῇ, ἀλλ᾽ οὐ φορά.

Τήν κατοχήν τῶν φαντασμάτων μνήμην ὀνομάζεσθαι· τήν δέ ἀναπόληψιν τούτων, ἀνάμνησιν· καί ὡς ἐπί πολύ, μνημονευτέρους μέν ὑπάρχειν τούς βραδεῖς· ἀναμνηστικωτέρους δέ, τούς ταχεῖς καί εὐμαθεῖς.

Χαρικλ. - Μέγα γάρ εἰς λήθην κακῶν, ἡ δι᾽ ὀφθαλμῶν τῆς ψυχῆς ὑπόμνησις ἀμαυρουμένη.

Ἐκ τῶν Ἐπικτήτου. - Ἀνανεούσθω ὁ περί Θεοῦ λόγος καθ᾽ ἡμέραν, μᾶλλον ἤ τά σιτία.

Συνεχέστερον νόει τόν Θεόν, ἤ ἀνάπνει.

Ἐάν ἀεί μνημονεύῃς, ὅτι ᾧ ἐργάζῃ κατά ψυχήν ἤ σῶμα Θεός παρέστηκεν ἔφορος, ἐν πάσαις σου ταῖς προσευχαῖς καί ταῖς πράξεσιν, οὐ μή ἁμάρτῃς· ἕξεις δέ τόν Θεόν σύνοικον.

Ὡς ἡδύ τήν θάλασσαν ἀπό γῆς ὁρᾷν, οὕτως ἡδύ τῷ σωθέντι μεμνῆσθαι τῶν πόνων.

**ΛΟΓΟΣ ΝΓ΄.**

## Περί ψυχῆς.

(≡15Ε_380≡> Ματθ. ι΄. - Ὁ εὑρών τήν ψυχήν αὐτοῦ ἀπολέσει αὐτήν· καί ὁ ἀπολέσας αὐτήν ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν.

Β΄ Κορ. δ΄. - Εἰ καί ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται· ἀλλ' ὁ ἔσωθεν ἀνακαινοῦται ἡμέρᾳ καί ἡμέρᾳ.

Σιράχ λζ΄. - Τέκνον, ἐν πραΰτητι δόξασον τήν ψυχήν σου, καί ἴδε τί πονηρόν αὐτῇ, καί μή δῶς αὐτῇ. Οὐ γάρ πάντα πᾶσι συμφέρει· καί οὐ πᾶσα ψυχή ἐν παντί εὐδοκεῖ.

Ἡ καταστροφή τῶν παρανόμων κακή· τῇ γάρ ἀσεβείᾳ τήν αὐτῶν ψυχήν ἀφαιροῦνται.

(=956=) Παροιμ. ια΄. - Ψυχή εὐλογημένη, πᾶσα ἁπλῆ.

Βασιλείου. - Ψυχῆς θησαύρισμα, σώματος ἔνδεια. Τούτου καλόν ἡγεῖσθαι χρή, τό τῆς ψυχῆς ἀγαθόν.

Οὐδείς περιορᾷ τό ἑαυτοῦ τέκνον μέλλον καταπίπτειν εἰς βόθυνον, ἤ ἐμπεσόν ἐναφίησι τῷ πτώματι· πόσῳ δέ δεινότερον ψυχήν εἰς βάθος κακῶν ἐμπίπτουσαν ἐναφεῖναι τῇ ἀπωλείᾳ;

Θεολόγου. - Τί σοι θέλεις γενέσθαι; ψυχήν ἐμήν ἐρωτῶ. Τί σοι μέγα ἤ τί μικρόν τῶν τιμίων βροτοῖσι; Ζήτει μόνον προθύμως τι λαμπρόν, καί δώσω σοι.

Ψυχῇ θύε τῷ Θεῷ μᾶλλον, ἤ εὐχῆς τρόπῳ.

Πείθομαι σοφῶν λόγοις, ὅτι ψυχή πᾶσα καλή τε καί θεοφιλής, (≡15Ε_382≡> ἐπειδάν τοῦ συνδεδεμένου λυθεῖσα σώματος ἐνθένδε ἀπαλλαγῇ, εὐθύς μέν ἐν συναισθήσει ἐν θεωρίᾳ τοῦ μέλλοντος αὐτῇ καλοῦ γενομένη, ἅτε τοῦ ἐπισκοτοῦντος ἀνακαθαρθέντος, ἤ ἀποτεθέντος, ἤ οὐκ οἶδ᾽ ὅ τι καί λέγειν χρή, θαυμασίαν τινά ἡδονήν ἥδεται καί ἀγάλλεται, καί ἵλεως χωρεῖ πρός τόν ἑαυτῆς Δεσπότην· ὥσπερ τι δεσμωτήριον χαλεπόν τόν ἐντεῦθεν βίον ἀποφυγοῦσα, καί τάς περικειμένας ἀποσεισαμένη πέδας, ὑφ᾽ ὧν τό τῆς διανοίας πτερόν καθείλκετο· καί οἷον ἤδη τῇ φαντασίᾳ καρποῦται τήν ἀποκειμένην μακαριότητα.

Χρυσοστ. - Πάντα διπλᾶ δέδωκεν ἡμῶν ὁ Θεός τῇ φύσει, δύο ὀφθαλμούς, δύο ὦτα, δύο χεῖρας, δύο πόδας· ἐάν ὁπότερον τούτων βλαβῇ, διά τοῦ ἑτέρου τήν χρείαν παραμυθούμεθα· ψυχήν δέ μίαν δέδωκεν ἡμῖν· ἄν ταύτην ἀπολέσωμεν, μετά τίνος ἐμβιοτεύσωμεν;

Ψυχή ἐστιν οὐσία τις ἀσώματος καί ἀθάνατος.

Ψυχή ἐστιν οὐσία γεννητή, οὐσία ζῶσα νοερά.

Κλήμεντ. - Πάντων ἀναπνέουσαι αἱ ψυχαί, τό ζῆν ἔχουσι, κἄν χωρισθῶσι τοῦ σώματος, καί τόν εἰς αὐτό εὑρεθῶσι πόθον ἔχουσαι, εἰς τόν τοῦ Θεοῦ κόλπον φέρονται ἀθάνατοι· ὡς ἐν χειμῶνος ὥρᾳ οἱ ἀτμοί τῆς γῆς ὑπό τῶν τοῦ ἡλίου ἀκτίνων ἐφελκόμενοι φέρονται πρός αὐτόν.

Ἀθάνατοι πᾶσαι αἱ ψυχαί, καί τῶν ἀσεβῶν, αἷς ἄμεινον ἦν μή ἀφθάρτους εἶναι. Κολαζόμεναι γάρ ὑπό τοῦ ἀσβέστου πυρός ἀπεράντῳ τιμωρίᾳ καί μή θνήσκουσαι, ἐπί κακῷ τῷ ἑαυτῶν τέλος λαβεῖν οὐκ ἔχουσιν.

(=957=) Μοσχίωνος. - Αἱροῦ πάντα τά θνητά καί γήϊνα ἀπολέσας, ἕνα ἀθάνατον καί οὐράνιον κτήσασθαι.

Δημοκρίτ. Ἀνθρώπους ἁρμόδιον ψυχῆς μᾶλλον ἤ σώματος λόγον ποιεῖσθαι. Ψυχή μέν γάρ τελειοτάτη σκήνεος μοχθηρίην ὀρθοῖ· σκήνεος δέ ἰσχύς ἄνευ λογισμοῦ ψυχήν οὐδέν τι ἀμείνω τίθησιν.

Κλητάρχου. - Τῆς ψυχῆς ὡς ἡγεμόνος ἐπιμελοῦ· τοῦ δέ σώματος ὡς στρατιώτου προνόει.

(≡15Ε_384≡> Φιλιστίων. - Ψυχή σοφοῦ ἁρμόζεται πρός Θεόν. Ψυχήν θάνατος οὐκ ἀπόλλυσιν, ἀλλά κακός βίος.

Ζαλεύκου. - Ἕκαστον οὖν ἔχειν καί παρασκευάζειν δεῖ τήν ἑαυτοῦ ψυχήν πάντων καθαράν τῶν κακῶν. Ὡς γάρ οὐ τιμᾶται Θεός ὑπ᾽ ἀνθρώπου φαύλου, οὐδέ θεραπεύεται δαπάναις, οὐδέ τραγῳδίαις τῶν ἁλισκομένων, ἀλλ᾽ ἀγαθῇ προαιρέσει τῶν καλῶν ἔργων καί δικαίων.

Ἐπικτήτου. - Ψυχήν σώματος ἀναγκαιότερον ἰᾶσθαι· τοῦ γάρ κακῶς ζῆν τό τεθνᾶναι κρεῖσσον.

ΛΟΓΟΣ ΝΔ΄.

## Περί φθόνου.

(≡15Ε_386≡> Ματθ. κ΄. - Ἐλθόντες δέ καί οἱ πρῶτοι, ἐνόμισαν ὅτι πλείονα λήψονται, καί ἔλαβον καί αὐτοί ἀνά δηνάριον. Λαβόντες δέ ἐγόγγυζον, κ. τ. ἑ.

Ἰακ. γ' . - Ὅπου ζῆλος καί ἐριθεία, ἐκεῖ ἀκαταστασία καί πᾶν φαῦλον πρᾶγμα.

Παροιμ. κγ΄. - Μή συνδείπνει ἀνδρί βασκάνῳ, μηδέ ἐπιθυμήσῃς τῶν ἐδεσμάτων αὐτοῦ.

Φθόνος οὐκ οἶδε προτιμᾶν τό συμφέρον.

Σιράχ λζ΄. - Μή συμβουλεύου μετά ὑποβλεπομένου σου· ἀπό τῶν ζηλούντων σε κρύψον βουλήν σου.

Βασιλ. - Οὐχ ὁρᾷς ἡλίκον ἐστίν ἡ ὑπόκρισις; καί αὕτη καρπός ἐστι τοῦ φθόνου. Τό γάρ διπλοῦν τοῦ ἤθους, ἐκ φθόνου μάλιστα τοῖς ἀνθρώποις γίνεται.

Τί στενάζεις, φθονερέ; τό ἴδιον κακόν, ἤ τό ἀλλότριον ἀγαθόν;

Φθόνου γάρ πάθος οὐδέν ὀλεθριώτερον ψυχαῖς ἀνθρώπων ἐμφύεται.

Ὥσπερ γάρ ἰός τόν σίδηρον, οὕτως ὁ φθόνος τήν ἔχουσαν αὐτόν ψυχήν ἐξαναλίσκει.

Οἱ κύνες τρεφόμενοι ἡμεροῦνται, καί οἱ λέοντες χειροήθεις θεραπευόμενοι γίνονται· οἱ δέ βάσκανοι ταῖς θεραπείαις πλέον ἐξαγριαίνονται.

Ἔθος τῇ Γραφῇ πολλαχοῦ μετά τοῦ φόνου τάσσειν τόν φθόνον.

Ὥσπερ ἡ ἐρυσίβη ἴδιόν ἐστι τοῦ σίτου νόσημα· οὕτως ὁ φθόνος φιλίας ἐστίν ἀῤῥώστημα.

(≡15Ε_388≡> Οἱ μισόκαλοι δαίμονες, ἐπειδάν οἰκείας ἑαυτοῖς εὕρωσι προαιρέσεις, παντοίως αὐταῖς ἀποκέχρηνται (960) πρός τό ἴδιον βούλημα, ὥστε καί τοῖς ὀφθαλμοῖς τῶν βασκάνων εἰς ὑπηρεσίαν χρήσασθαι τοῦ ἰδίου θελήματος.

Ὥσπερ ἕπεται τῷ ἀγαθῷ ἡ ἀφθονία, οὕτως ἀκολουθεῖ τῷ διαβόλῳ ἡ βασκανία.

Ὥσπερ δέ αἱ γῦπες πρός τά δυσώδη φέρονται, πολλούς μέν λειμῶνας, πολλούς δέ ἡδεῖς καί εὐώδεις τόπους ὑπεριπτάμενοι· καί αἱ μυῖαι, τό μέν ὑγιαίνον παρατρέχουσι, πρός δέ τό ἕλκος ἐπείγονται· οὕτως οἱ βάσκανοι, τάς μέν τοῦ βίου λαμπρότητας καί τά μεγέθη τῶν κατορθουμένων οὐδέ προσβλέπουσι, τοῖς δέ σαθροῖς ἐπιτίθενται.

Θεολ. - Μή φθονήσεις τῷ κατορθοῦντι ὡς φθονηθείς, καί φθονεῖσθαι πεισθείς, καί διά τοῦτο κατενεχθείς.

Ὡς ἀπόλοιτο ἐξ ἀνθρώπων ὁ φθόνος, ἡ δαπάνη τῶν ἐχόντων, ὁ τῶν πασχόντων ἰός· τό μόνον τῶν παθῶν ἀδικώτατόν τε ἅμα καί δικαιότατον· τό μέν, ὅτι πᾶσι διοχλεῖ καλοῖς, τό δέ, ὅτι ἀδικεῖ τούς ἔχοντας.

Χρυσοστ. - Ὦ φθόνε ρίζα θανάτου, ἡ πολύπλοκος νόσος, καρδίας ὀξύτατε ἧλε! Ποῖος γάρ ἧλος ὀξύτατος οὕτως κεντᾷ, ὡς ὁ φθόνος τήν ἔχουσαν αὐτόν καρδίαν τιτρώσκει;

Ὁ δαίμων φθονεῖ μέν, ἀνθρώποις δέ· δαίμονι δέ οὐδενί. Σύ δέ ἄνθρωπος ὤν, ἀνθρώποις φθονεῖς· καί ποίας τεύξῃ συγνώμης;

Γρηγ. Νύσ. - Φθόνῳ ἀτύχημα μέν ἐστιν οὐ τό ἴδιον κακόν, ἀλλά τό ἀλλότριον ἀγαθόν· κατόρθωμα δέ πάλιν, οὐ τό οἰκεῖον καλόν, ἀλλά τό τοῦ πέλας κακόν.

Φθείρεσθαι τούς νεκροβόρους γῦπας τῷ μύρῳ λέγουσι. Πρός γάρ τό δυσῶδες καί διεφθορός αὐτῶν ἡ φύσις ᾠκείεται. Καί ὁ τῇ νόσῳ ταύτῃ κρατούμενος, τῇ μέν εὐημερίᾳ τῶν φίλων, (≡15Ε_390≡> οἷόν τινος μύρου προσβολῇ καταφθείρεται. Εἰ δέ τι πάθος ἐκ συμφορῶν ἴδοι, πρός τοῦτο καθίπταται, καί τό ἄγκυλον ἐπάγει στόμα, τά κεκρυμμένα ἐξέλκων τοῦ δυστυχήματος.

Φίλωνος. - Τά καλά, κἄν φθόνῳ πρός ὀλίγον ἐπισκιασθῇ χρόνον, ἐπί καιρῷ λυθέντα, αὖθις ἀναλάμπει.

Πλουτάρχου. - Τοῖς μέν διά τοῦ ἡλίου πορευομένοις ἕπεται κατ᾽ ἀνάγκην σκιά· τοῖς δέ διά τῆς δόξης βαδίζουσιν ἀκολουθεῖ φθόνος.

Τό τῆς δόξης κάλλος ὥσπερ ὑπό νόσου τοῦ φθόνου ταχύ καταφθείρεται.

(=961=) Ἀνάχαρσις. - Ἀνάχαρσις ὁ Σκύθης ἐρωτηθείς, Διά τίνα αἰτίαν ἄνθρωποι λυποῦνται πάντοτε; ἔφη, ὅτι οὐ μόνον αὐτούς τά ἴδια κακά λυπεῖ, ἀλλά καί τά ἀλλότρια ἀγαθά.

Ἀριστοτ. - Φθόνος, φησίν, ἀνταγωνιστής ἐστι τῶν εὐτυχόντων.

Δημοκρίτ. - Ἡ τῶν ἀγαθῶν ἔρις ὠφελεῖ τόν ζηλοῦντα, μή βλάπτουσα τόν ζηλούμενον.

Οὐκ ἄν ἐκώλυον οἱ νόμοι ζῆν ἕκαστον κατ᾽ ἰδίαν ἐξουσίαν, εἰ μή ἕτερος ἕτερον ἐλυμαίνετο. Φθόνος γάρ στάσιος ἀρχήν ἀπεργάζεται.

Ὁ αὐτός τόν φθόνον εἶπεν ἕλκος εἶναι τῆς ἀληθείας

Κλειτάρχου. - Ὥσπερ ὑπό τοῦ ἰοῦ τόν σίδηρον, οὕτω τούς φθονερούς ὑπό τοῦ ἰδίου ἤθους κατεσθίεσθαι.

Σωκράτης. - Πολλοί θανόντας ἀμείβουσι τοῖς τάφοις, οὕς τῷ φθόνῳ πρότερον ἤλγυναν ζῶντας.

Ὁ αὐτός τόν φθόνον ἔφη τῆς ψυχῆς εἶναι πρίονα.

Λευκίπ. - Ζηλοτυπία γάρ ἅπαξ ἐμπεσοῦσα ψυχῇ, δυσέκλειπτον ἐστί

Κλεόβουλ. - Κλεόβουλος ὁ Λίνδιος, ἐρωτηθείς ὑπό τινος, Τίνα δεῖ μάλιστα φυλάττεσθαι; εἶπεν, Τῶν μέν φίλων τόν φθόνον, τῶν δέ ἐχθρῶν τήν ἐπιβουλήν.

(≡15Ε_392≡> Βίωνος. - Βίων ὁ σοφιστής, ἰδών τινα φθονερόν σφόδρα κεκυφότα, εἶπεν, Ἤ τούτῳ μέγα κακόν συμβέβηκεν, ἤ ἄλλῳ μέγα ἀγαθόν.

Ἀγάθωνος.

Οὐκ ἦν ἄν ἀνθρώποισιν ἐν βίῳ φθόνος,
Εἰ πάντες ἦμεν ἐξ ἴσου πεφυκότες.

Θεοφράστ.. - Θεόφραστος εἶπε, τούς μοχθηρούς τῶν ἀνθρώπων, οὐχ οὕτως ἥδεσθαι ἐπί τοῖς ἰδίοις ἀγαθοῖς, ὡς ἐπί τοῖς ἀλλοτρίοις κακοῖς.

Πλάτων. - Ἀγαθός ἦν· ἀγαθῷ δέ οὐδείς περί οὐδενός οὐδέποτε γίνεται φθόνος.

Ἀριστονύμ. - Ὁ φθόνος, ὥσπερ φαῦλος δημαγωγός, ταῖς καλαῖς ἀντιπολιτεύεται πράξεσιν.

Θουκιδίδου. - Φθόνος τοῖς ζῶσι πρός τό ἀντίπαλον· τό δέ μή ἐμποδών, ἀνανταγωνίστῳ εὐνοίᾳ τετίμηται.

Ἀναξιμέν. - Ὅσοι γάρ τά καλῶς ῥηθέντα ἤ πραχθέντα διά φθόνον οὐκ ἐπαινοῦσι, πῶς οὗτοι ἄν τοῖς ἔργοις ὠφελήσειαν;

Κάτωνος. - Ἥκιστα φθονεῖσθαι ἔλεγε τούς τῇ τύχῃ χρωμένους ἐπιεικῶς καί μετρίως. Οὐ γάρ ἡμῖν, ἀλλά τοῖς περί ἡμᾶς φθονοῦσιν.

Ἀνωνύμου. - Οὐδενί φθονητέον· ἀγαθοί μέν γάρ ἄξιοι· κακοί δ᾽ ἄν εὐτυχῶσιν, κακῶς ζῶσιν.

Θεμιστοκλῆς μειράκιον ὤν, οὐδέν ἔφη πράττειν λαμπρόν· οὔπω γάρ φθονεῖσθαι. Καθάπερ γάρ αἱ κανθαρίδες ἐμφύονται μάλιστα τῷ ἀκμάζοντι σίτῳ, καί τοῖς εὐθαλέσι ῥόδοις· οὕτω ὁ φθόνος ἅπτεται (964) μάλιστα τῶν χρηστῶν καί αὐξανομένων πρός ἀρετήν, καί δόξαν ἠθῶν καί προσώπων κεκτημένων.

**ΛΟΓΟΣ ΝΕ΄.**

## Περί ἑκουσίου καί ἀκουσίου.

(≡15E_394≡> Λουκ. ιβ΄. - Ἐκεῖνος ὁ δοῦλος, ὁ γνούς τό θέλημα τοῦ κυρίου αὐτοῦ καί μή ποιήσας, δαρήσεται πολλάς· ὁ δέ μή γνούς, δαρήσεται ὀλίγας.

Α΄ Κορ. θ΄. - Οὐαί δέ μοί ἐστιν, ἐαν μή εὐαγγελίζωμαι. Εἰ γάρ ἑκών τοῦτο πράττω, μισθόν ἔχω· εἰ δέ ἄκων, οἰκονομίαν πεπίστευμαι.

Σολομ. ι' . - Ἀκούσιον ἐξῆλθεν ἀπό προσώπου ἐξουσιάζοντος.

Παροιμ. λ΄. - Ἄμελγε γάλα, καί ἔσται βούτυρον. Ἐάν δέ ἐκπιέζῃς μυκτῆρα, ἐξελεύσεται αἷμα.

Σιράχ ιη΄. - Ὀπίσω τῶν ἐπιθυμιῶν σου μή πορεύου, καί ἀπό τῶν ὀρέξεών σου κωλύου. Ἐάν γάρ χορηγήσῃς τῇ ψυχῇ σου εὐδοκίαν ἐπιθυμίας, ποιήσεις ἐπίχαρμα ἐχθρῶν.

Βασιλείου. - Τά ἐν ᾅδου κακά οὐ Θεόν ἔχει τόν αἴτιον, ἀλλ᾽ ἡμᾶς αὐτούς. Ἀρχή γάρ καί ῥίζα τῆς ἁμαρτίας, τό ἐφ᾽ ἡμῖν καί τό αὐτεξούσιον.

Ἐπαινοῦμεν τούς κατά προαίρεσιν ἀγαθούς, οὐ τούς ὑπό τινος ἀνάγκης εἰς τοῦτο ἥκοντας. Ὅπου γάρ προαίρεσις ἑτοίμη, τό κωλύον οὐδέν.

Βία γάρ ἤ φόβος, ἀρετῆς οὐκ ἄν ποτε γένοιτο δημιουργός. Ἐθελούσια γάρ, καί οὐκ ἀνάγκης τά καλά.

Τό ἑκούσιον λυπηρόν, τοῦ ἀκουσίου τερπνοῦ τιμιώτερον.

Θεολόγου. - Τό μέν γάρ ἑκούσιον, μονιμώτερόν τε καί ἀσφαλέστερον· καί τοῦ μέν τοῦ βιασαμένου, τό δέ ἡμέτερον· καί τό μέν ἐπιεικείας Θεοῦ, τό δέ τυραννικῶς ἐξουσίας.

(≡15E_396≡> Φιλεῖ τό βίᾳ κρατούμενον ἐλευθεριάζειν καιροῦ λαβόμενον.

Ποιμήν ἀμέλγει, εἰ θέλει, καί τούς τράγους,

Ἀλλ᾽ ἀντί γάλακτος, αἱμάτων πηγάς οἴσει.

Χρυσοστ. - Οὐ τούς ἀνάγκῃ τῆς κακίας ἀπεχομένους, ἀλλά τούς προαιρέσει, στεφανοῖ ὁ θεός.

Οὐκ ἀνάγκῃ καί βίᾳ, ἀλλά βουλήσει καί γνώμῃ προσάγεται ἡμᾶς ὁ Θεός.

Οὐδείς καρπός ἀνάγκης, ἀλλά πᾶς μισθός προαιρέσεως. Οὐ λογίζεται ὁ Θεός τά ἐξ ἀνάγκης, ἀλλά τά ἐκ προαιρέσεως κατορθούμενα.

(=965=) Ὥσπερ τῷ στρουθῷ τῶν πτερῶν ὄφελος οὐδέν, ὑπό τῆς παγίδος ἁλόντι, ἀλλ᾽ εἰκῇ καί μάτην πτερύσσεται· οὕτω καί σοί τῶν λογισμῶν οὐδέν ὄφελος, ἐάν κατακράτος ὑπό τῆς πονηρᾶς ἐπιθυμίας ἁλῷς.

Διονυσίου. - Οὐκ ἠναγκασμένην ζωήν ἔχομεν οἱ ἄνθρωποι. Οὔτε γάρ διά τήν τῶν προνοουμένων αὐτεξουσιότητα τά θεῖα φῶτα τῆς προνοητικῆς ἐλλάμψεως ἀπαμβλύνεται.

Διδύμου. - Τά μέν ἀκούσια ἁμαρτήματα καί νόμος συγχωρεῖ, καί Θεός παρορᾷ φιλάνθρωπος ὤν, καί οὐκ ἀπηνής καί τῶν ἑκουσίων.

Φίλων. - Οὐχ ὡς τό ἑκουσίως ἁμαρτάνειν ἐστίν ἄδικον, οὕτω καί ἀκουσίως καί κατά ἄγνοιαν, εὐθύς δίκαιον· ἀλλά τάχα που μεθόριον ἀμφοῖν, δικαίου καί ἀδίκου, τό ὑπό τινων καλούμενον ἀδιάφορον. Ἁμάρτημα γάρ οὐδέν ἔργον δικαιοσύνης.

Κλήμεντος. - Μάλιστα πάντων Χριστιανοῖς οὐκ ἐφίεται τό πρός βίαν ἐπανορθοῦν τά τῶν ἁμαρτημάτων πταίσματα. Οὐ γάρ τούς ἀνάγκῃ τῆς κακίας ἀπεχομένους, ἀλλά τούς προαιρέσει στεφανοῖ ὁ Θεός.

Οὐ δυνατόν τινα ἀγαθόν εἶναι βεβαίως, εἰ μή κατά προαίρεσιν οἰκείαν. Ὁ γάρ ὑφ᾽ ἑτέρου ἀνάγκης ἀγαθός γινόμενος, (≡15E_398≡> οὐκ ἀγαθός· ὅτι μή ἰδίᾳ προαιρέσει ἐστίν ὅ ἔστιν. Τό γάρ ἑκάστου ἐλεύθερον, ἀποτελεῖ τό ὄντως ἀγαθόν, καί δεικνύει τό ὄντως κακόν. Ὅθεν διά τῶν ὑποθέσεων τούτων ἐμηχανήσατο ὁ Θεός φανερῶσαι τήν ἑκάστου διάθεσιν.

Χορικίου. - Τό ἐκ φύσεως καλόν, ἀδόκιμον· τό δέ ἐκ προαιρέσεως, ἐπαινετόν.

Ἐπικτήτου. - Εἰ βούλει ἀταράχως καί εὐαρέστως ζῆν, πειρῶ τούς συνοικοῦντάς σοι σύμπαντας ἀγαθούς ἔχειν. Ἕξεις δέ ἀγαθούς, εἰ τούς μή ἑκόντας παιδεύεις, τούς δέ ἄκοντας [ἔπειτα κεχειρωμένους] ἀπολύεις. Συμφεύξεται γάρ τοῖς φεύγουσιν ἡ μοχθηρία ἅμα καί ἡ δουλεία· συναπολειφθήσεται δέ τοῖς συμβαίνουσί σοι ἡ χρηστότης καί ἡ ἐλευθερία.

Σωκράτ. - Ὁ μέν ἑκουσίως ταλαιπωρῶν, ἐπ᾽ ἀγαθῇ ἐλπίδι πονῶν εὐφραίνεται· αἱ δέ ῥᾳδιουργίαι καί ἐκ τοῦ παραχρῆμα ἡδοναί, οὔτε

σώματος εὐεξίαν ἱκαναί εἰσίν ἐργάζεσθαι, οὔτε ψυχῆς ἐπιστήμην ἀξιόλογον οὐδεμίαν ἐμποιοῦσιν.

Θεαγοῦς Πυθαγορείου. - Τό μέν ἀκούσιον, οὐκ ἄνευ λύπης καί φόβου· τό δέ ἑκούσιον, οὐκ ἄνευ ἡδονῆς καί φιλοφροσύνης.

(=968=) Ἐκ τῶν Νικολάου ἐθῶν. - Θύνοι τούς ναυαγούς φιλανθρώπως δεχόμενοι φίλους ποιοῦνται· τῶν δέ ξένων, τούς μέν ἑκουσίως ἐλθόντας, σφόδρα τιμῶσι· τούς δέ ἀκουσίως, κολάζουσιν.

ΛΟΓΟΣ Στ΄.

## Περί τοῦ "Γνῶθι σαυτόν."

(≡15Ε_400≡> Λουκ. στ΄. - Τί βλέπεις τό κάρφος τό ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τήν δέ ἐν τῷ σῷ ὀφθαλμῷ δοκόν οὐ κατανοεῖς;

Ῥωμ. ιδ΄. - Σύ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; τῷ ἰδίῳ κυρίῳ στήκει ἤ πίπτει· σταθήσεται δέ· δυνατός γάρ ἐστιν ὁ Θεός στῆσαι αὐτόν.

Σολομ. ια΄. - Περιπάτει ἐν ὁδοῖς καρδίας σου ἄμωμος, καί γνῶθι σαυτόν· ὅτι ἐν πᾶσι τούτοις ἄξει σε ὁ Θεός εἰς κρίσιν.

Παροιμ. ιγ'. - Οἱ ἑαυτῶν ἐπιγνώμονες, σοφοί.

Σιρ. ιγ΄. - Συντήρησον καί πρόσεχε σφοδρῶς, ὅτι μετά τῆς πτώσεώς σου περιπατεῖς.

Βασιλείου. - Ἡ ἀκριβής σαυτοῦ κατανόησις αὐτάρκη σοι παρέχει χειραγωγίαν πρός τήν ἔννοιαν τοῦ Θεοῦ.

Μεμνημένος τῆς φύσεως, οὐκ ἐπαρθήσῃ ποτέ· μεμνήσῃ δέ ἑαυτοῦ ἐάν προσέχῃς σαυτόν.

Ἔπαθες, ἄνθρωπε, ὅ ἐγκαλεῖς· καί τό μέν ἀλλότριον κακόν ἐπιμελῶς βλέπεις, τό δέ σαυτοῦ αἰσχρόν οὐδαμοῦ τιθεῖς.

Τῷ ὄντι γάρ ἔοικε πάντων εἶναι χαλεπώτατον, ἑαυτόν ἐπιγνῶναι. Οὐ γάρ μόνος ὀφθαλμός τά ἔξω βλέπων ἐφ᾽ ἑαυτόν οὐ κέχρηται τῷ ὁρᾷν· ἀλλά καί αὐτός ἡμῶν ὁ νοῦς, ὀξέως τό ἀλλότριον (≡15Ε_402≡> ἁμάρτημα καταβλέπων, βραδύς ἐστι πρός τήν τῶν οἰκείων ἐλαττωμάτων ἐπίγνωσιν.

Θεολογ.

Ἐρεύνα σαυτόν πλεῖον, ἤ τά τῶν πέλας.

Τῷ μέν γάρ αὐτός κερδανεῖς, τῷ δ᾽ οἱ πέλας.

Γνῶθι σεαυτόν, ἄριστε, πόθεν καί ὅστις ἐτύχθης.

Ῥεῖά κεν ὧδε τύχης κάλλεος ἀρχετύπου.

Διδύμου. - Τό εἰδέναι τινά ὅτι ἀγνοεῖ, σοφίας ἐστίν· ὡς καί τό εἰδέναι ὅτι ἠδίκησε, δικαιοσύνης.

Χρυσοστ. - Οὗτος μάλιστα ἐστιν ὁ ἑαυτόν εἰδώς, ὁ μηδέν ἑαυτόν εἶναι νομίζων.

(=969=) Κλήμεντ.

Εἰ βούλει γνῶναι Θεόν, προλαβών γνῶθι σαυτόν.

Ἀντιφάνους.

Εἰ θνητός εἶ, βέλτιστε, θνητά καί φρόνει.

Δημοσθ.

Οἶμαι τό μέλλον ἅπασιν ἀνθρώποις ἄδηλον· καί μικροί καιροί, μεγάλων πραγμάτων αἴτιοι γίνονται. Διό δεῖ μετριάζειν ἐν ταῖς εὐπραξίαις, καί προορωμένους τό μέλλον φαίνεσθαι.

Ἡρακλείτου. - Ἡράκλειτος νέος ὤν, πάντων γέγονεν σοφώτερος, ὅτι ᾔδει ἑαυτόν μηδέν ὄντα.

Σωκράτ. - Σωκράτης ᾤετο μηδέν εἰδέναι, πλήν αὐτό τοῦτο, ὅτι μηδέν οἶδεν· τούς δέ λοιπούς, μηδέ τοῦτο εἰδέναι.

Οἱ μέν σφοδρῶς πυρέττοντες, τήν ὄρεξιν καί τήν ῥώμην· οἱ δ᾽ ἐν τοῖς βασιλείοις παροικοῦντες, τόν νοῦν καί τά ἤθη πεφύκασι διαφείρεσθαι, εἰ μή τό, Γνῶθι σαυτόν, συχνῶς ἑαυτοῖς ἐπιλέγουσιν.

(≡15E_404≡> Φιλήμον.

Ἄνθρωπος ὤν, τοῦτ᾽ ἴσθι, καί μενεῖς ἀεί.

Σωτάτου.

Εἰ καί βασιλεύς πέφυκας, ὡς θνητός ἄκουσον.

Ἄν μακρά πτύῃς, φλεγματίῳ κρατῇ περισσῷ.

Ἄν εὐϊματῇς, ταῦτα πρό σοῦ προβάτιον εἶχεν·

Ἄν χρυσοφορῇς, τοῦτο τύχης ἐστίν ἔπαρμα.

Ἄν πλούσιος ᾖς, τοῦτο χρόνων ἄδηλον ἰσχύς.

Ἄν ἀλαζονεύῃ, τοῦτο ἀνοίας ἐστί φρύαγμα.

Ἄν δέ σωφρονῇς, τοῦτο Θεοῦ δῶρον ὑπάρχει.

Ἡ δέ σωφροσύνη πάρεστιν, ἐάν μετρῇς σεαυτόν.

Θαλῆς. - Χαλεπό δέ ἑαυτόν γνῶναι, ἀλλά μακάριον· ζῆν γάρ κατά φύσιν.

Πλάτωνος. - Οἱ οὐκ εἰδότες, ὡς ἔπος εἰπεῖν οὐδέν, οἰόμεθα τά πάντα εἰδέναι· οὐκ ἐπιτρέποντες δέ ἀλλήλοις, ἅ μή ἐπιστάμεθα πράττειν, ἀναγκαζόμεθα ἁμαρτάνειν αὐτοί πράττοντες.

Μενάνδρ. -

Κατά πολλῶν ἐστιν οὐ καλῶν εἰρημένον,

Τό Γνῶθι σεαυτόν, χρησιμώτερον γάρ ἦν,

Τό, Γνῶθι τούς ἄλλους.

Ξενοφῶντ. - Οἱ μέν γάρ εἰδότες ἑαυτούς, τά ἐπιτήδεια ἑαυτοῖς ἴσασι, καί διαγινώσκουσιν ἅ τε δύνανται, καί ἅ μή. Καί ἅ μέν ἐπίστανται πράττοντες, πορίζονταί τε ὧν δέονται, καί εὖ πράττουσιν· ὧν δέ μή ἐπίστανται ἀπεχόμενοι, ἀναμάρτητοι γίνονται καί διαφεύγουσι τό κακῶς πράττειν.

Οὗτος ἔμοιγε δοκεῖ, ὅ μή εἰδώς τήν ἑαυτοῦ δύναμιν, ἀγνοεῖν ἑαυτόν. Ἐκεῖνο δέ οὐ φανερόν, ἔφη, ὅτι μέν διά τό εἰδέναι ἑαυτούς πλεῖστα ἀγαθά ἰσχύουσιν ἄνθρωποι· διά δέ τό ἐψεῦσθαι ἑαυτῶν, πλεῖστα κακά;

(≡15E_406≡> Ἐπί μηδενί ἐπαρθῇς ἀλλοτρίῳ προτερήματι. Εἰ ὁ ἵππος ἔλεγεν ἐπαιρόμενος, ὅτι Καλός εἰμι, ἀνεκτόν ἦν· σύ δέ ὅταν λέγεις, ὅτι Ἵππον καλόν ἔχω, ἴσθι ὅτι ἐφ᾽ ἵππῳ ἀγαθῷ μέγα φρονεῖς. Τί οὖν ἔστι σόν;

Χρῆσις φαντασιῶν, ἥν ὅταν κατά φύσιν ἔχῃς, τότε (972) ἐπάρθητι· τότε γάρ ἐπί τῷ σῷ πλεονεκτήματι ἐπαρθήσῃ.

Χείλων. - Χείλων ἐρωτηθείς, τί τό χαλεπώτατον, Τό γινώσκειν ἑαυτόν, ἔφη. Χρήσιμον γάρ εἰς νουθεσίαν τῶν ἀλαζόνων, οἵ ὑπέρ τήν ἑαυτῶν δύναμιν φλυαροῦσιν.

ΛΟΓΟΣ ΝΖ΄.

## Περί χρηστότητος.

(≡15Ε_408≡> Λουκ. στ΄. - Ἀγαθοποιεῖτε καί δανείζετε, μηδέν ἀπελπίζοντες, καί ἔσται ὁ μισθός ὑμῶν πολύς, καί ἔσεσθε υἱοί Ὑψίστου, ὅτι αὐτός χρηστός ἐστι ἐπί τούς ἀχαρίστους καί πονηρούς.

Ἐφ. δ΄. - Γίνεσθε εἰς ἀλλήλους χρηστοί καί εὔσπλαχνοι, χαριζόμενοι ἑαυτοῖς, καθώς καί ὁ Θεός ἐν Χριστῷ ἐχαρίσατο ὑμῖν.

Κολοσσ. γ΄. - Ἐνδύσασθε σπλάγχνα οἰκτιρμοῦ, χρηστότητα, ταπεινοφροσύνην, μακροθυμίαν, πραότητα.

Παροιμ. β'. - Χρηστοί ἔσονται οἰκήτορες γῆς· ἄκακοι δέ ὑπολειφθήσονται ἐν αὐτῇ.

Χριστός χρηστός ὤν, καί ἰδών τό πλάσμα αὐτοῦ, οὔτε ἀνῆκεν αὐτούς, οὔτε κατέλιπε φειδόμενος αὐτῶν.

Βασιλ. - Τό κατ᾽ εἰκόνα ἔχω, ἐν τῷ λογικός εἶναι· τό δέ καθ᾽ ὁμοίωσιν γίνομαι, ἐν τῷ χρηστός γενέσθαι.

Τό μέν γάρ τούς ἀντιτείνοντας ὑπό χεῖρα λαμβάνειν, ἀνδρείου τε καί ἄρχοντος ὡς ἀληθῶς· τοῖς δέ ὑποπεπτωκόσι χρηστόν εἶναι καί πρᾶον, μεγαλοφροσύνῃ πάντων καί ἡμερότητος διαφέροντος.

Διονυσίου τοῦ Ἀρεωπαγίτου. - Τό κατά πάντα τρόπον τοῦ ἀγαθοῦ ἐστερημένον, οὐδαμῇ οὐδαμῶς οὔτε ἦν, οὔτε ἔστιν, οὔτε ἔσται, οὔτε εἶναι δύναται.

Θεολόγου. - Ἀγαθόν χρηστότητι νικᾷν θρασύτητα, καί βελτίου ποιεῖν τούς ἀδικοῦντας, οἷς καρτεροῦμεν πάσχοντες.

(≡15Ε_410≡> Πᾶσι μέν ἴσθι χρηστός, πλέον δέ τοῖς ἔγγιστα.
Ζήτει Θεοῦ σοι χρηστότητα, χρηστός ὤν.
Τί χρηστότητος δόγμα συντομώτερον;
Τοιοῦτος ἴσθι τοῖς φίλοις καί τοῖς πέλας,
Οἵους σεαυτῷ τούσδε τυγχάνειν θέλεις.

Χρυσοστ. - Οὐκ εὐεργετῶν μόνον, ἀλλά καί κολάζων ἀγαθός ἐστι καί φιλάνθρωπος ὁ Θεός. Καί γάρ αἱ κολάσεις αὐτοῦ καί αἱ τιμωρίαι, μέγιστον εὐεργεσίας μέρος εἰσίν· ἐπεί καί ἰατρός, οὐχ ὅταν εἰς παραδείσους καί λειμῶνας ἐξάγῃ τόν κάμνοντα μόνον, οὐδ᾽ ὅταν εἰς βαλανεῖα καί κολυμβήθρας ὑδάτων, ἀλλά καί ὅταν ἄσιτον κελεύῃ διαμεῖναι, ὅταν τέμνῃ, ὅταν πικρά προσάγει φάρμακα, τότε καί ἰατρός ἐστιν (=973=) ὁμοίως, καί τήν αὐτοῦ φιλανθρωπίαν ἐπιδείκνυσιν πλέον.

Γρηγ. Νύσσ. - Ὁ τῇ φύσει ἀγαθός, καί ἀγαθῶν πάντων παρεκτικός.

Ἴδιον πάντως ἀγαθοῦ, τό ὠφελεῖν.

Δημοσθ. - Οὐ τοσοῦτον ὁ λόγος, ὅσον χρηστός τρόπος πείθειν δύναται.

Ποσιδίππου.

Οἷσιν ὁ τρόπος ἐστίν εὔτακτος, τουτέοισι καί βίος συντέκταται.

Τέχνῃ μέν γνωρίμους ἐκτησάμην

Πολλούς· διά τό τρόπον δέ, τούς πλείστους φίλους.

Θεμιστοκλ. - Θεμιστοκλῆς χωρίον πωλῶν ἐκέλευσε κηρύττειν, ὅτι καί γείτονα χρηστόν ἔχει.

Μενάνδρου.

Σύ μέν παραινεῖς ταῦτα ὅσα σοι πρέπει,

Ἐμέ δέ ποιεῖν τό καθῆκον, οὐχ ὁ σός λόγος,

Εὖ ἴσθι ἀκριβῶς· ὁ δ᾽ ἴδιος πείθει τρόπος.

Οὐδείς πονηρόν πρᾶγμα χρηστός ὢν ποιεῖ.

Οὐ παντελῶς δεῖ τοῖς πονηροῖς ἐπιτρέπειν.

Ἀλλ᾽ ἀντιτάττεσθαι· εἰ δέ μή, τ᾽ ἄνω κάτω

Ἡμῶν ὁ βίος λήσει μεταστραφείς ὅλος.

(≡15E_412≡> Λευκίππης. - Χρηστότης, τυγχάνουσα μέν χάριτος, ἔτι μᾶλλον αὔξεται· προπηλακισθεῖσα δέ, εἰς ὀργήν ἐρεθίζεται.

Περίθου.

Πολλῶν χρημάτων, τό χρηστόν εἶναι λυσιτελέστερόν ἐστι.

Τρόπος ἐστί χρηστός ἀσφαλέστερος νόμου.

Τόν μέν γάρ οὐδείς ἄν διαστρέψαι ποτέ

Ῥήτωρ δύναιτο· τόν δ᾽ ἄνω τε καί κάτω

Λόγος ταράσσων πολλάκις λυμαίνεται.

**ΛΟΓΟΣ ΝΗ΄.**

## Περί νόμου.

(≡15E_414≡> Ἰωάν. η΄. - Ἡ κρίσις ἡ ἐμή δικαία ἐστίν, ὅτι μόνος οὐκ εἰμί, ἀλλ᾽ ἐγώ καί ὁ πέμψας με. Καί ἐν τῷ νόμῳ τῷ ὑμετέρῳ γέγραπται, Ὅτι δύο ἀνθρώπων μαρτυρία ἀληθής ἐστιν.

Ῥωμ. β΄. - Ὅσοι ἀνόμως ἥμαρτον, ἀνόμως καί ἀπολοῦνται· καί ὅσοι ἐν νόμῳ ἥμαρτον, διά νόμου κριθήσονται.

Παροιμ. κθ'. - Τό νόμον γνῶναι, διανοίας ἐστίν ἀγαθῆς.

Σιράχ κα΄. - Ὁ φυλάσσων νόμον Κυρίου, κρατεῖ τοῦ ἐννοήματος αὐτοῦ.

(=976=) Βασιλ. - Εἰ τά ἄλογα ἐπινοητικά καί φυλακτικά τῆς αὐτῶν σωτηρίας εἰσί, καί οἶδε τό αἱρετόν αὐτοῦ καί τό φευκτόν ἰχθύς· τί ἐροῦμεν ἡμεῖς οἱ λόγοις τετιμημένοι, καί νόμοις πεπαιδευμένοι, ἐπαγγελίαις προτραπέντες, Πνεύματι σοφισθέντες· εἶτα τῶν ἀλόγων ἰχθύων

ἀλογώτερον τά καθ᾽ ἑαυτούς διατιθέμενοι, μή πειθόμενοι τῷ νόμῳ ὑπείκειν;

Οὐ δυνατόν σωθῆναι μή ποιοῦντα τά κατ᾽ ἐντολήν τοῦ Θεοῦ ἔργα· οὔτε τό παριδεῖν τι τῶν προστεταγμένων ἀκίνδυνον. Δεινή γάρ ἡ ἔπαρσις, κριτάς ἡμᾶς τοῦ νομοθέτου καθέζεσθαι, καί τούς μέν ἐγκρίνειν τῶν νόμων, τούς δέ παραπέμπεσθαι. Εἰ γάρ δεῖ τέλειον εἶναι τόν τοῦ Θεοῦ ἄνθρωπον, ἀνάγκη πᾶσα διά πάσης ἐντολῆς καταρτισθῆναι, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος (≡15Ε_416≡> τοῦ Χριστοῦ· ἐπεί κατά τόν θεῖον νόμον κἄν καθαρόν ᾖ τόν τελούμενον, [ἄν μή τέλειον καί ὁλόκληρον,] ἀπρόσδεκτον εἰς θυσίαν τῷ Θεῷ.

Θεολόγου. - Εἰ μέν οὖν ἐμείναμεν ὅπερ ἦμεν, καί τήν ἐντολήν ἐφυλάξαμεν, ἐγενόμεθα ἄν ὅπερ οὐκ ἦμεν.

Ὡς ἥδιόν τι μανθάνειν, ἤ διδάσκειν περί Θεοῦ.

Λόγῳ μέν εὐσεβοῦντες ὀλίγα, ἔργῳ δέ πλείονα· καί τῇ τηρήσει τῶν νομων μᾶλλον, ἤ τῷ θαυμάζειν τόν νομοθέντην, τό περί αὐτόν φίλτρον ἐπιδεικνύμενοι.

Νόμοις ὑπόκεισαι καί κανόσι Δεσποτικοῖς, καθ᾽ οὕς σε προσήκει ζῆν. Καί τοῦτο ἀπό σαυτοῦ πρῶτον κατανόησον, ὅτι καί ἡ ψυχή σου πανταχόθεν τοῖς τῆς ἀρετῆς ὑπόκειται παραγγέλμασιν. Ἔλαβες καί σῶμα παρά τοῦ Κτίσαντος, πέντε αἰσθήσεσιν εἰς τάς τῆς ζωῆς χρείας οἰκονομούμενον. Εἰσί δέ οὐδέ αὗται ἐλεύθεροι καί αὐτόνομοι· ἀλλ᾽ ἑκάστη δούλη νόμων ἐστί. Καί πρῶτος ἀκούει ὁ ὀφθαλμός. Βλέπε, φησίν, καί θεώρει ἅ βλέπειν καλόν· καί, βέλτιον ἐκκόπτειν αὐτόν, ὅταν ἄτακτα βλέπῃ καί ἐπιζήμια. Ἔχει καί ἡ ἀκοή παράγγελμα, καί ἡ γλῶσσα καί αἱ λοιπαί ὁμοίως.

Οὔτε πλέοντας παρά τόπον ὁρμεῖν ἀσφαλές, οὔτε ζῶντας παρά νόμον βιοῦν ἀκίνδυνον.

Νόμους φυλάττων, τούς φόβους ἔξω βαλεῖς·

Φόβου γάρ ἔξω πᾶς ὁ τοῦ νόμου φύλαξ.

Δύο μέν τά διάγοντα ἡμᾶς ἐστι· φύσις καί νόμος· κρατεῖ δέ τοῦ νόμου ἡ φύσις.

Χρυσοστ. - Ἴσασι καί οἱ νόμοι τά ἐξ ἀνάγκης συγγινώσκειν ἁμαρτήματα.

Εἴδη τῶν νόμων τρία· νόμος ὁ τῆς φύσεως, νόμος ὁ τοῦ γράμματος, ὁ τῷ Μωϋσεῖ δοθείς, νόμος ὁ τῆς χάριτος.

(=977=) Ζαλεύκου. - Ζάλευκος ὁ τῶν Λοκρῶν νομοθέτης, τούς νόμους τοῖς ἀραχνίοις εἶπεν ὁμοίους εἶναι. Καί γάρ εἰς ἐκεῖνα ἐάν (≡15Ε_418≡> ἐμπέσῃ μυῖα ἤ κώνωψ, κατέχεται· ἐάν δέ σφήξ ἤ μέλισσα, διαῤῥήξασα ἀφίσταται. Ἐν τοῖς νόμοις ἐάν ἐμπέσῃ πένης, συνέχεται· ἐάν δέ πλούσιος ἤ δυνατός λέγειν, διαῤῥήξας ἀποτρέχει.

Σόλων. - Σόλων ἐρωτηθείς ὑπό τινος, πῶς ἄριστα αἱ πόλεις οἰκοῦνται, ἔφη· Ἐάν μέν οἱ πολῖται τοῖς ἄρχουσι πείθωνται, οἱ δέ ἄρχοντες τοῖς νόμοις.

Δημάδους. - Τοῖς μέν δούλοις, ἡ ἀνάγκη νόμος· τοῖς δέ ἐλευθέροις, ὁ νόμος ἀνάγκη.

Ἐπικτήτου. - Νόμος βούλεται μέν εὐεργετεῖν βίον ἀνθρώπων· οὐ δύναται δέ τοῖς πειθομένοις ἐνδείκνυται τήν ἰδίαν ἀρετήν.

Ὥσπερ τοῖς νοσοῦσιν ἰατροί σωτῆρες, οὕτω καί τοῖς ἀδικουμένοις οἱ νόμοι.

Νόμοι ἀληθέστατοι οἱ δικαιότατοι.

Νόμῳ καί ἄρχοντι καί τῷ σοφωτέρῳ εἴκειν κόσμιον.

Τά παρά νόμον γινόμενα, ἀντί μή γινομένων εἰσίν.

Δημοσθ. - Δημοσθένης ὁ ῥήτωρ ἔφη, πόλεως εἶναι τήν ψυχήν, τούς νόμους. Ὥσπερ γάρ σῶμα στερηθέν ψυχῆς πίπτει, οὕτω καί πόλις, μή ὄντων νόμων καταλύεται.

Κύρου. - Ὁ αὐτός ἐρωτηθείς, Τίνας ἀδίκους νομίζεις εἶναι; Τούς μή χρωμένους, εἶπε, τῷ νόμῳ.

Θεοφράστ. - Ὀλίγων οἱ ἀγαθοί νόμων δέονται· οὐ γάρ τά πράγματα πρός τούς νόμους, ἀλλ᾽ οἱ νόμοι πρός τά πράγματα τίθενται.

Ἀνωνύμου. - Κρατίστην εἶναι δημοκρατίαν, ἐν ᾗ οἱ πάντες ὡς τύραννον φοβοῦνται τόν νόμον.

Ἀρκεσίλαος. - Ἀρκεσίλαος ἔλεγεν· Ὥσπερ ὅπου φάρμακα πολλά καί ἰατροί πολλοί, ἐνταῦθα νόσοι πλεῖσται· οὕτω δή καί ὅπου νόμοι πλεῖστοι, ἐκεῖ εἶναι καί ἀδικίαν μεγίστην.

**ΛΟΓΟΣ ΝΘ΄.**

## Περί λογικοῦ καί λογισμοῦ.

(≡15Ε_420≡> Λουκ. στ΄. - Ὁ ἀγαθός ἄνθρωπος, ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας ἐκβάλλει ἀγαθά· καί ὁ πονηρός ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ ἐκβάλλει πονηρά

Β΄ Κορινθ. ι΄. - Τά γάρ ὅπλα τῆς στρατείας ἡμῶν οὐ σαρκικά, ἀλλά δυνατά τῷ Θεῷ πρός καθαίρεσιν (=980=) ὀχυρωμάτων· λογισμούς καθαιροῦντες, καί πᾶν ὕψωμα ἐπαιρόμενον κατά τῆς γνώσεως τοῦ Θεοῦ, καί αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τήν ὑπακοήν τοῦ Χριστοῦ.

Παροιμ. ιε'. - Ὁδοί ζωῆς διανοήματα συνετοῦ· ἀπό τῶν διανοημάτων αὐτοῦ πλησθήσεται ἀνήρ ἀγαθῶν.

Παροιμ. ιβ'. - Λογισμοί δικαίων κρίματα.

Παροιμ. ιθ΄. - Πολλοί λογισμοί ἐν καρδίᾳ ἀνδρός· ἡ δέ βουλή τοῦ Θεοῦ κρατήσει εἰς τόν αἰῶνα.

Σιράχ κζ΄. - Ἐν σείσματι κοσκίνου διαμείνει κοπρία· οὕτως σκύβαλα ἀνθρώπου ἐν λογισμῷ αὐτοῦ.

Βασιλ. - Ἐκ λογικοῦ γάρ καί ἀλόγου, κατά τό Ἑλληνικόν πρός φυσιολογίαν πλάσμα, ὥσπερ τινά κένταυρον, συνθείς ὁ Δημιουργός ὅλον τόν ἄνθρωπον τῷ ἀνθρωπομόρφῳ ἀπό κεφαλῆς ἕως στέρνων ἄνωθεν μέρει, τό ἀπό ὀμφαλοῦ ἕως ὀσφύος καθάπερ ἵππου, φύσιν [πρός τε τάς

γαστρός ἡδονάς κτηνῶδες ὑπάρχον, καί πρός τάς μίξεις ἀλόγως κινούμενον] κάτωθεν φέρον προσήρμοσεν· οὐχ ὑπό τοῦ ἀλόγου μέρους τό λογικόν ἐξαρπάζεσθαι βουληθείς, ἀλλά τῷ λογικῷ ὑποβεβλημένον ἔχοντι τό ἄλογον μέρος, ἡνιοχεῖσθαι πρός τάς τῆς φύσεως ἀνάγκας, πανσόφως ἐνθείς.

Τοῦ αὐτοῦ. - Ὁ τήν θείαν ἀπάθειαν κατορθῶσαι σπουδάζων, ἀδούλωτον παντί πάθει ὀφείλει φυλάξαι τόν ἑαυτοῦ λογισμόν.

(≡15Ε_422≡> Θεολόγου. - Κρείσσων λογισμός πράξεων ἤ χρημάτων· τά μέν γάρ τῆς φθορᾶς ἐστιν, ὁ δέ ἵσταται.

Χρυσοστ. - Διά τοῦτο πτερά τοῖς στρουθίοις, ἵνα φύγῃ παγίδα· καί διά τοῦτο λογισμός τοῖς ἀνθρώποις ἵνα ἐκφύγωσιν ἁμαρτήματα.

Οὐ παύεται λογισμούς ἡ διάνοια τίκτουσα· σύ δέ, τούς μέν φαύλους ἔκτιλλε, τούς δέ ἀγαθούς γεώργει.

Κλήμεντ. - Οὐχ ἡ τῶν πράξεων ἀποχή δικαιοῖ τόν πιστόν, ἀλλ ἡ τῶν ἐννοιῶν ἁγνεία καί εἰλικρίνεια.

Πλουτάρχ. - Ἐπισκοτεῖ τῷ μέν ἡλίῳ πολλάκις τά νέφη· τῷ δέ λογισμῷ, τά πάθη.

(=981=) Ἐκ μέν τοῦ ποδός τήν ἄκανθαν, ἐκ δέ τῆς ἀλόγου ψυχῆς, τήν ἄγνοιαν ὑπεξελέσθαι δεῖ.

Φιλήμονος. - Ὁ τῷ λογισμῷ πάντα παρ᾿ ἑαυτῷ σκοπῶν, τό κακόν ἀφαιρεῖ, τἀγαθόν δέ λαμβάνει.

Ἰσοκράτους. - Ἅ ἄν σοι λογιζομένῳ βέλτιστα, ταῦτα τοῖς ἔργοις ἐπιτέλει.

Δεῖ ὥσπερ ἐξ εὐνομουμένης πόλεως φυγαδεύειν στασιαστήν ἄνθρωπον, οὕτως ἐκ τῆς ψυχῆς τόν πρός τά φαῦλα κεκλικότα λογισμόν.

Τῷ γάρ πάθει τοῦ σώματος, καί τό νοερόν τῆς ψυχῆς συνομολογεῖν ἀνέχεται.

Πυθαγόρου. - Αἰσχρόν τοῖς τῶν μελιττῶν δωρήμασι γλυκάζοντα τήν κατάποσιν, τό τοῦ Θεοῦ δῶρον πικράζειν τόν λόγον, τῇ κακίᾳ.

Θεάγους. - Τό γάρ ἀντέχειν μή δύνασθαι τοῖς πόνοις, ἐπικρατεῖν δέ τήν ἡδονήν, οἰκεῖόν ἐστι τῷ ἀλόγῳ μέρει τᾶς ψυχᾶς· ἅ δέ προαίρεσις ἐν ἀμφοτέροις αὐτοῖς γίνεται, καί τῷ λόγον ἔχοντι μέρει τᾶς ψυχᾶς, καί τῷ ἀλόγῳ.

ΛΟΓΟΣ Ξ΄.

## Περί ἀφροσύνης, ἄφρονος καί ἀνοήτου, καί ἀπαιδεύτου καί μωροῦ.

(≡15Ε_424≡> Ματθ. ζ΄. - Πᾶς ὁ ἀκούων μου τούς λόγους, καί μή ποιῶν αὐτούς, ὁμοιωθήσεται ἀνδρί μωρῷ.

Α΄ Κορ. ιδ΄. - Μή παιδία γίνεσθε ταῖς φρεσίν, ἀλλά τῇ κακίᾳ νηπιάζετε· ταῖς δέ φεσί, τέλειοι γίνεσθε.

Καρδία ἄφρονος, ὀδύνη τῷ κτησαμένῳ αὐτήν.

Σολομ. ι΄. - Χείλη ἄφρονος καταποντιοῦσιν αὐτόν. Ἀρχή λόγων στόματος αὐτοῦ, ἀφροσύνη, καί ἐσχάτη στόματος αὐτοῦ περιφέρεια πονηρά.

Παροιμ. ιστ΄. - Ἀνήρ ἄφρων ὀρύσσει ἑαυτῷ κακά· ἐπί δέ τῶν ἑαυτοῦ χειλέων θησαυρίζει πῦρ.

Παροιμ. ιη'. - Οὐ χρείαν ἔχει σοφίας ἐνδεής φρενῶν· μᾶλλον γάρ ἄγεται ἀφροσύνῃ.

Σιράχ κβ΄. - Μετά ἄφρονος μή πληθύνῃς λόγους, καί πρός ἀσύνετον μή πορεύου.

Σιράχ κβ΄. - Ἐπί νεκρῷ κλαῦσον, ἐξέλιπε γάρ φῶς· καί ἐπί μωρῷ κλαῦσον, ἐξέλιπε γάρ σύνεσις.

Σιράχ κβ΄. - Ἄμμον καί ἅλας καί βῶλον σιδηροῦν, ἀκοπώτερον ὑπενεγκεῖν, ἤ ἄνθρωπον ἄφρονα.

Σιράχ δ΄. -Μή ὑποστρώσῃς ἀνθρώπῳ μωρῷ σεαυτόν.

Σιράχ η΄. - Μετά μωροῦ μή συμβουλεύου.

Σιράχ κβ΄. - Συγκολλῶν ὄστρακον, ὁ διδάσκων μωρόν.

Αἶσχος νόμιζε τήν φρενῶν ἀκοσμίαν.

(≡15Ε_426≡> Βασιλείου. - Ὥσπερ οἱ ἀσθενοῦντες χρῄζουσιν ἰατρικῆς, οὕτω σοφίας ἄφρονες ἐπιδέονται.

(=984=) Θεολόγου.

Αἰσχρόν νέον γέροντος ἀσθενέστερον
Εἶναι, γέροντα δ᾽ ἀφρονέστερον νέου.
Ἦχοι θαλάσσης ἀνδρός ἄφρονος λόγοι,
Θλίβοντες ἀκτάς, οὐ πιαίνουσι χλόαν.

Χρυσοστ. - Οὐδέν οὕτω ποιεῖ μωρούς ὡς πονηρία. Ὅταν γάρ ὕπουλος ᾖ, ὅταν ἀχάριστος, ὅταν οὐδέν ἠδικημένος λυπῇ, πῶς οὐκ ἐσχάτης ἀνοίας ἐξοίσει δεῖγμα;

Φίλωνος. - Πέφυκεν ἄφρων ἐπί μηδενός αἰσθάνεσθαι πράγματος ἤ ἑστάναι· καί ἔστιν αὐτῶν ζωή πᾶσα κρεμαμένη, βάσιν ἀκράδαντον οὐκ ἔχουσα.

Μεῖζον ἀνθρώπῳ κακόν ἀφροσύνης, οὐδέν ἐστι, τῷ ἴδιον τοῦ λογιστικοῦ γένους τόν νοῦν ζημιωθέντι.

Πέφυκεν ὁ ἄφρων ἀεί ἐπί τόν ἀρθόν [ἀργόν] λόγον κινούμενος, ἠρεμίᾳ καί ἀναπαύσει δυσμενής εἶναι.

Οὔτε ἀῤῥώστου πληγήν, οὔτε ἀνοήτου ἀπειλήν δεῖ εὐλαβεῖσθαι.

Πλουτάρχ. - Ὁδηγόν τυφλόν λαβεῖν καί σύμβουλον ἀνόητον, ἴσον ἐστίν.

Οὐχ οὕτω τοῖς ὀρφανοῖς παισίν, ὡς τοῖς ἀνοήτοις ἀνδράσιν ἐπιτρόπους δεῖ παρεῖναι.

Οἱ ἐλαφροί τῶν ἀνθρώπων, ὥσπερ τά κενά τῶν ἀγγείων, εὐβάστακτοι τοῖς ὠτίοις εἰσίν.

Κακόσιτός ἐστι πρός τόν συμφέροντα λόγον ἡ τῶν ἀνοήτων ψυχή, οὐ παραδεχομένη τόν σώζοντα νοῦν, ὥσπερ φάρμακον.

Κράτης. - Κράτης ἀπείκαζε τούς ἀνοήτους τῶν ἀνθρώπων τοῖς τρυπάνοις· ἄνευ γάρ δεσμοῦ καί ἀνάγκης, μηδέν ἐθέλειν τῶν δεόντων ποιεῖν.

Σέξτον. - Οὔτε ἐν ἰχθύσι φωνήν, οὔτε ἐν ἀπαιδεύτοις ἀρετήν δεῖ ἐπιζητεῖν.

(≡15Ε_428≡> Ζήνων. - Τῶν τις ἐν ἀκαδημίᾳ νεανίσκων περί ἐπιτηδευμάτων διαλέγετο ἀφρονῶν. Ὁ δέ Ζήνων, Ἐάν μή τήν γλῶσσαν, ἔφη, εἰς νοῦν ἀποβρέξας διαλέγῃς, πολύ πλείω ἔτι καί ἐν τοῖς λόγοις πλημελήσεις.

Δημάδης. - Δημάδης τούς Ἀθηναίους εἴκαζεν αὐλοῖς, ὧν εἴ τις ἀφέλοι τήν γλῶτταν, τό λοιπόν οὐδέν ἐστιν.

ΛΟΓΟΣ ΞΑ΄.

## Περί ἀσωτίας.

(≡15Ε_430≡> Λουκ. ιε΄. - Καί μετ᾽ οὐ πολλάς ἡμέρας συναγαγών ἅπαντα ὁ νεώτερος υἱός ἀπεδήμησεν εἰς χώραν μακράν, καί ἐκεῖ διεσκόρπισε τήν οὐσίαν αὐτοῦ, ζῶν ἀσώτως.

Ἐφεσ. ε'. - Μή μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία.

(=985=) Παροι. κθ΄. - Ὅς κατασπαταλᾷ ἐκ παιδός ἀσώτως, οἰκέτης ἔσται· ἔσχατον δέ ὀδυνηθήσεται ἐφ᾽ ἑαυτῷ.

Σιράχ στ΄. - Τά φύλλα σου καταφάγεσαι ἀσώτως, καί τούς καρπούς σου ἀπολέσεις, καί ἀφήσεις σεαυτῷ ὡς φύλλον ξηρόν.

Βασιλείου. - Οὐδέ γάρ φειδόμενα καθάπαξ πλούτου, ἐῤῥιμένους χαμαί παρατρέχομεν ἀδελφούς, οὐδέ τοῖς παισίν ἤ τοῖς ἄλλοις οἰκείοις τήν εὐπορίαν φυλάττοντες, ἀποκλείομεν τοῖς δεομένοις τάς ἀκοάς· ἀλλά τήν δαπάνην μετατιθέντες ἐπί τοῖς χείρουσι, καί τό φιλότιμον ἀκόμην πονηρίας ποιούμενοι τοῖς ταύτην ἐπιτηδεύουσι. Πόσαι γάρ ἤ πόσοι τῶν ἐνίων περιεστήκασι τράπεζαν; Οἱ μέν αἰσχροῖς ῥήμασι τόν ἑστιάτορα θέλγοντες, οἱ δέ ἀτόποις βλέμμασί τε καί σχήμασι τό τῆς ἀκρασίας ἐκκαίουσι πῦρ· οἱ δέ τοῖς εἰς ἀλλήλους σκώμμασι γέλωτα τῷ κεκληκότι κατασκευάζειν ἐθέλοντες· καί οὗτοι δέ, οὐ τό ἑστιαθῆναι λαμπρῶς μόνον κερδαίνουσιν, ἀλλά καί τάς χεῖρας πεπληρωμένας πολυτελῶν δώρων κατάγουσιν.

Θεολόγου. - Τῆς αὐτῆς δυσχερείας ἐστί, καί κτήσασθαί τι τῶν ἀγαθῶν οὐχ ὑπάρχον, καί κτηθέν διασώσασθαι.

(≡15Ε_432≡> Τοῦ μέν γάρ δαπανᾷν ἡ φιλοδοξία τοῖς πολλοῖς παρέχει τό πρόθυμον· οὗ δέ ἀφανής ἡ ἐπίδοσις, καί τό παρέχειν ἀμβλύτερον.

Χρυσόστ. - Εἰ παιδός ἐπιτρόπευες, καί λαβών τά αὐτοῦ περιεώρας αὐτόν ἐν τοῖς ἐσχάτοις ὄντα, μυρίους ἄν εἶχες κατηγόρους, καί τήν ἀπό τῶν νόμων ἔδωκας ἄν δίκην· τά δέ τοῦ Χριστοῦ λαβών, καί οὕτως μάτην ἀναλίσκων, οὐχ ἡ γῆ δώσειν εὐθύνας.

Δίωνος. - Μηδέποτε μάτην χρήματα σπούδαζε ἀναλίσκειν, ἐξ οὗ οὐδεμία προσγίνεται εὔκλεια. Πλοῦτος γάρ ἀκριβής, οὐχ οὕτως ἐκ τοῦ πολλά λαμβάνειν, ὡς ἐκ τοῦ μή πολλά ἀναλίσκειν ἀθροίζεται.

Μενάνδρου.

Τούς τόν ἴδιον δαπανῶντες ἀλογίστως βίον,

Τό καλῶς ἀκούειν, ταχύ ποιεῖ πᾶσι κακῶς.

Χίλωνος. - Δαπανώμενος ἐφ᾽ ἅ μή δεῖ, ὀλίγος ἔσῃ ἐφ᾽ ἅ δεῖ.

Τό μή κεκτῆσθαι πλοῦτον, βλάβην οὐ κομίζει τοσαύτην· τό δέ τοῖς οὖσι κακῶς κεκχρῆσθαι, ἀπόλλυσιν τόν οὕτως, φασί, κεχρημένου βίον.

(=968=) Πλουτάρχ. - Ὁ τῶν ἀσώτων βίος, ὥσπερ καθ᾽ ἡμέραν ἀποθνήσκων ἐκφέρεται.

Πλούσιον δέ ἄσωτον θεασάμενος ἐλαίας ἐσθίοντα καί ὕδωρ πίνοντα, ἔφη· Εἰ οὕτως ἠρίστας, οὐκ ἄν οὕτως ἐδείπνεις.

Κυψέλλου. - Φειδόμενον κρεῖττον ἀποθανεῖν, ἤ ζῶντα ἐνδεῖσθαι.

Πλάτων. - Πλάτων ὁ σοφός, ἰδών μειράκιον εὐγενές ἀσώτως τήν γονικήν οὐσίαν ἀναλώσαντα, καί ἐπί θύραις πανδοχείου ἄρτον ἐσθίοντα καί ὕδωρ πίνοντα, πρός αὐτόν ἔφη· Εἰ οὕτως κατά γνώμην ἠρίστας, οὐκ ἄν οὕτως ἐδείπνεις.

Διογένης. - Ὁ αὐτός προσελθών τινι μειρακίῳ, καταβεβρωκότι τά πατρῷα, ᾔτει αὐτόν δέκα δραχμάς. Τοῦ δέ τήν αἰτίαν (≡15E_434≡> ἐρομένου, δι᾽ ἥν παρά μέν τῶν ἄλλων ὀβολόν λαμβάνει, παρά δέ αὐτοῦ δραχμάς δέκα αἰτεῖ, εἶπεν, ὅτι Παρά μέν τῶν ἄλλων ἐλπίζω λήψεσθαι πολλάκις· παρά σοῦ δέ οὐκέτι.

Ξενοφῶντ. - Οὐ γάρ μή λαβεῖν τά ἀγαθά οὕτω χαλεπόν, ὡς τό λαβόντα στερηθῆναι.

Διφίλου.

Ἔργον συναγαγεῖν σωρόν ἐν πολλῷ χρόνῳ,

Ἐν ἡμέρα δέ διαφορῆσαι ῥᾴδιον.

Ζήνων. - Ζήνων πρός τούς ἀπολογουμένους ὑπέρ τῆς αὑτῶν ἀσωτίας, καί λέγοντας, ἐκ πολλοῦ περιόντος ἀναλίσκειν, ἔλεγεν· Εἴ που καί τοῖς μαγείροις συγνώσεσθι, ἐάν ἁλμυρά λέγωσι πεποιηκέναι τά ὄψα, ὅτι πλῆθος ἁλῶν αὐτοῖς ὑπάρχει.

ΛΟΓΟΣ ΞΒ΄.

## Περί συνηθείας καί ἔθους.

(≡15E_436≡> Ῥωμ. ζ΄. - Συνήδομαι τῷ νόμῳ τοῦ Θεοῦ κατά τόν ἔσω ἄνθρωπον· βλέπω δέ ἕτερον νόμον ἐν τοῖς μέλεσί μου, ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου, καί αἰχμαλωτίζοντά με ἐν τῷ νόμῳ τῆς ἁμαρτίας, τῷ ὄντι ἐν τοῖς μέλεσί μου.

Σολομ. ιδ'. - Χρόνῳ κρατυνθέν τό ἀσεβές ἔθνος, ὡς νόμος διεφυλάχθη

Σιράχ ιδ΄. - Ἄνθρωπος συνεθιζόμενος λόγοις ὀνειδισμοῦ, εἰς τόν αἰῶνα οὐ μή παιδευθῇ.

Βασιλ. - Οὔτε ἐν κηρῷ γράψαι δυνατόν, μή προκαταλεάναντα τούς ἐναποκειμένους χαρακτῆρας· οὔτε ψυχῇ θεῖα παραθέσθαι, μή τάς ἐκ τοῦ ἔθους προλήψεις ἐξελόντα.

Οὐδέν οὕτως ἐπιθυμητόν, ὡς μή τῇ συνεχείᾳ τῆς ἀπολαύσεως εὐκαταφρόνητον γίνεσθαι· ὧν δέ σπανία ἡ κτῆσις, περισπούδαστος ἡ ἀπόλαυσις.

Παλαιωθέν γάρ τραῦμα ψυχῆς, καί κακοῦ μελέτη χρόνῳ βεβαιωθεῖσα, δυσίατός ἐστιν, ἤ καί παντελῶς (989) ἀνίατος, ὡς τά πολλά τῆς ἕξεως εἰς φύσιν μεθισταμένης.

Ἔθους χωρισμός, καί τοῖς ἀλόγοις ἐστί δυσφορώτατος. Καί ποτε εἶδον ἐγώ βοῦν ἐπί φάτνης δακρύοντα, τοῦ συνόμου αὐτοῦ ὁμοζύγου τελευτήσαντος.

Θεολόγου. - Ῥᾷον γάρ ἀπ᾽ ἀρχῆς μή ἐνδοῦναι κακίᾳ, καί προσιοῦσαν διαφυγεῖν, ἤ προβαίνουσαν ἀνακόψαι καί φανῆναι ταύτης ἀνώτερος.

(≡15E_438≡> Δικτύῳ κομίζειν ὕδωρ καί πλίνθον πλύνειν εὐπετές, ἤ κακίαν φυτευθεῖσαν χρόνῳ πολλῷ ἐν ἀνθρώπου ψυχῇ ἐξελεῖν δυνατόν.

Χυσοστ. - Οὐδέν οὕτως ἰσχυρόν παρά ἀνθρώποις, ὡς συνηθείας παλαιᾶς τυραννίς.

Τινές τῶν ἔξωθεν, δυτέραν φύσιν τήν συνήθειαν ἐκάλεσαν.

Δεινόν ἡ συνήθεια κατασχεῖν πρός ἑαυτήν, καί μή συγχωρῆσαι πάλιν διαναστῆναι ἐπί τήν πρώτην ἕξιν τῆς ἀρετῆς.

Ψυχή ἅπαξ ἁμαρτίᾳ σπεισαμένη, καί ἀναλγήτως διατεθεῖσα, πολλήν παρέχει τῷ νοσήματι τήν προσθήκην.

Πολλάκις τήν φλόγα περί τήν ἀρχήν μή σβεννύντες, εἰς μέγα ναυάγιον κατήντησαν. Μή ἔχουσα γάρ ἁμαρτία τόν εἰς πρόσω προβῆναι κωλύοντα, ἵππῳ ἔοικε τόν χαλινόν ἀποῤῥίψαντι καί τόν ἀναβάτην κρημνίζοντι.

Κλήμεντος Ῥώμης. - Ὅ γάρ μισεῖ τις διά τήν ἐπιοῦσαν τῇ ἡλικίᾳ σύνεσιν, τοῦτο διά τήν πολυχρόνιον τῶν κακῶν συνήθειαν πράττειν συναγκάζεται, δεινήν σύνοικον τήν ἁμαρτίαν παρειληφώς.

Βοιωτῶν ἔνιοι τούς χρεώστας οὐκ ἀποδιδόντας, εἰς ἀγοράν ἄγοντες, καθῆσ[θ]αι κελεύουσιν· εἶτα κόφινον ἐπιβάλλουσιν αὐτῷ· ὅς δ᾽ ἄν κοφινωθῇ, ἄτιμος γίνεται. Δοκεῖ δέ τοῦτο πεπονθέναι καί ὁ Εὐριπίδου πατήρ Βοιωτός ὤν τό γένος.

Πέρσαις ὅ μή ποιεῖν ἔξεστιν, οὐδέ λέγουσιν. Ἐάν δέ τις πατέρα κτείνῃ, λιτόν αὐτόν οἴονται· ἐάν δέ τινα προστάξῃ βασιλεύς μαστιγῶσαι, εὐχαριστεῖ ὡς ἀγαθοῦ τυχών, ὅτι αὐτοῦ ἐμνήσθη ὁ βασιλεύς. Ἆθλα δέ λαμβάνουσι παρά βασιλέως πολυτεκνίας· οἱ δέ παῖδες παρ᾽ αὐτοῖς ὥσπερ μαθήματα τό ἀληθεύειν διδάσκονται.

Φίλων. - Ἐγχρονίζον ἦθος φύσεως κραταιότερόν ἐστι· καί μικρά μή κωλυόμενα ἁμαρτήματα, φύεται καί ἐπιδίδοται πρός μέγεθος συναυξάνοντα.

Μηδαμῶς τήν φύσιν αἰτιώμεθα· πάντα γάρ βίον ἡδύν ἤ ἀηδῆ ἡ συνήθεια ποιεῖ.

(≡15E_440≡> Χαρικλ. - Πάθος γάρ ἅπαν, τό μέν ὀξέως γινωσκόμενον, (992) εὐβοήθητον· τό δέ χρόνῳ παραπεμπόμενον, ἐγγύς ἀνιάτου.

Χορικίου. - Λαβομένη ἅπαξ ἡδυπαθείας ἡ φύσις, μόλις ἐθέλει πρός πόνους χωρεῖν.

Σωκράτ. - Οὐδέν ὄντως ἡδύ ἤ ἀηδές τῇ φύσει ὑφέστηκεν· πάντα δέ τῇ συνηθείᾳ γίνεται.

Βίον αἱροῦ τόν ἄριστον· τοῦτον γάρ ἡδύν ἡ συνήθεια ποιήσει.

Μεάνδρ.

. . . . . . . . . . . . . . . . . . .Ἀμήχανον
Μακράν συνήθειαν ἐν βραχεῖ λύσαι χρόνῳ.
Τό γάρ σύνηθες οὐδαμοῦ παροπτέον.

Πολυαίνου. - Ἔθος ἄρχεται μέν ἀπό μικρῶν· ἀμελούμενον δέ, τήν ἰσχύν μείζονα λαμβάνει.

Θεοκρίτ. - Ἐπίβουλον ἦθος καί κακομηχανώτατον διαπαντός ἔχειν καί κατά πάντων, οὐχί τῇ τοῦ ἀγχινόου, ὥς τινες οἴονται, τῇ δέ τοῦ πονηροτάτου μερίδι προστίθημι.

Ῥᾴδιον μέν ἐπαινεῖν, ἅ μή χρή, καί ψέγειν· ἑκάτερον δέ, πονηροῦ τινος ἤθους.

Ἐκ τῶν Σερίνου. - Οἱ Περσῶν βασιλεῖς, πρό μέν τῶν θυσιῶν, περί εὐσεβείας διαλέγονται· πρό δέ τοῦ πίνειν, περί σωφροσύνης· πολεμεῖν δέ μέλλοντες, περί ἀνδρείας.

Ἡροδότ. - Ἀγάθυρσοι, ἁβρότατοι ἄνδρες εἰσί καί χρυσοφόροι τά μάλιστα. Ἐπίκοινον δέ γυναικῶν τήν μίξιν ποιοῦντα, ἵνα κασίγνητοί τε ἀλλήλων ἐῶσι, καί οἰκεῖοι ἐόντες, μήτε φθόνῳ, μήτε ἔχθει χρέωνται ἐς ἀλλήλους.

**ΛΟΓΟΣ ΞΓ΄.**

## Περί εὐγενείας καί δυσγενείας.

(≡15E_442≡> Ἰωαν. γ΄. - Τό γεγεννημένον ἐκ τῆς σαρκός, σάρξ ἐστι· καί τό γεγεννημένον ἐκ τοῦ πνεύματος, πνεῦμα ἐστιν.

Ῥωμ. θ΄. - Οὐ τά τέκνα τῆς σαρκός, ταῦτα τέκνα Θεοῦ· ἀλλά τά τέκνα τῆς ἐπαγγελίας, λογίζεται εἰς σπέρμα.

Σολ. γ΄. - Γενεᾶς ἀδίκου, χαλεπά τά τέλη.

Τέκνα ἐν καταφρονήσει καί ἀπαιδευσίᾳ γαυριώμενα, συγγενείας ἑαυτῶν μολύνουσι τήν εὐγένειαν.

Τέκνα ἐν ἀγαθῇ ζωῇ τήν ἀναστροφήν ἔχοντα, τῶν ἰδίων γεννητόρων κρύψουσι δυσγένειαν.

Βασιλείου. - Οὐκ ἔχομεν πατέρας λέγειν καί προγόνους περιφανεῖς. Ὁ γάρ τῆς ἀληθείας νόμος, ἴδια ἑκάστου ἀπαιτεῖ τά ἐγκώμια. Οὐδέ γάρ ἵππον ταχύν ποιεῖ τό ἐκ ταχυτάτων φῦναι. Ἀλλ᾽ ὥσπερ τῶν ἄλλων ζώων ἡ ἀρετή ἐν ἑαυτῷ θεωρεῖται ἑκάστου, οὕτω καί ἀνδρός ἔπαινος, ὁ ἐκ τῶν ὑπαρχόντων αὐτῷ κατορθωμάτων ἐκμαρτυρούμενος.

(993) Θεολόγ.

Κακός δ᾽ ἀκούων αἰσχύνου, μή δυσγενής.
Γένος γάρ εἰσιν, οἱ πάλαι σεσηπότες.
Γένους προάρχειν, ἤ λύειν γένος θέλε,
Ὡς καλόν εἶναι σ᾽, ἤ καλῶν πεφυκέναι

Γρηγορ. Νύσσ. - Ἡ εὐγένεια καί ἡ σεμνότης τοῦ ὑπερηφάνου τό συγγενές πρός τήν πλίνθον ἔχει.

Χρυσοστ. - Λαμπρόν καί ἐπίσημον, οὐ περιφάνεια προγόνων, ἀλλά ψυχῆς ἀρετήν ποιεῖν εἴωθε.

(≡15E_444≡> Εὐριπίδ.

Οὐδέν ἡ εὐγένεια πρός τά χρήματα.
Τόν γάρ κάκιστον πλοῦτος εἰς πρώτους ἄγει.
Ὅταν δέ κρηπίς μή καταβληθῇ γένους
Ὀρθῶς, ἀνάγκη δυστυχεῖν τούς ἐκγόνους·
Φεῦ, φεῦ, παλαιός αἶνος οὐ καλῶς ἔχει,
Οὐκ ἄν γένοιτο χρηστός ἐκ κακοῦ πατρός.

Θεοπόμπ. - Εὐγενεῖς εἶναι νόμιζε, μή τούς ἐκ τῶν καλῶν καί ἀγαθῶν γεγενημένους· ἀλλά τούς καλά καί ἀγαθά προαιρουμένους.

Θεσπίδου. - Ἐπί προγόνων εὐγενείᾳ μηδείς ἐγκαυχάσθω· πηλόν γάρ ἔχουσι πάντες τοῦ γένους προπάτορα, καί οἱ ἐν πορφύρᾳ καί βύσσῳ τρεφόμενοι, καί οἱ ἐν πενίᾳ ἀβύσσῳ δαπανώμενοι.

Σκληρίου.

Πολλοῖς, θνητῶν ἡ μέν ὄψις εὐγενής·
Ὁ νοῦς δ᾽ ἐν αὐτῇ δυσγενής εὑρίσκεται.

Σώστρατος. - Σώστρατος ὁ αὐλητής ὀνειδιζόμενος ὑπό τινος ἐπί τῷ γονέων ἀσήμων εἶναι, εἶπεν· Καί μή διά τοῦτο μᾶλλον ὤφειλον θαυμάζεσθαι, ὅτι ἀπ᾽ ἐμοῦ γένος ἄρχεται.

Φαλάριδος. - Σεμνύνεσθαι μέν ὥσπερ ἄλλῳ τινί τῶν καλῶν ἐπ᾽ εὐγενείᾳ, οὐκ ἀπεικός ἐστιν. Ἐγώ δέ μίαν ἀρετήν οἶδα, τά δ᾽ ἄλλα πάντα τύχην. Καί γένοιτ᾽ ἄν, ὁ μέν ἐκ φαύλων ἀγαθός, καί βασιλέων καί πάντων εὐγενέστατος· ὁ δέ ἐξ ἀγαθῶν φαῦλος, αὐτός αὐτοῦ καί τῶν ταπεινοτάτων δυσγενέστατος. Ὥστε ψυχῆς ἔπαινον αὔχει, μή προγόνων τεθνηκυῖαν εἰς ἀδοξοτέρους εὐγένειαν.

Ὁ ἐξ ἀρετῆς γεννηθείς, ἐκεῖνος εὐγενής εἰκονίζεται.

Δημοσθ. - Οὔτε σῖτον ἄριστον ἐκ τοῦ καλλίστου πεδίου κρίνομεν, ἀλλά τόν εὔθετον πρός τροφήν· οὔτε ἄνδρα σπουδαῖον (≡15E_446≡> ἤ φίλον

εὔνουν, τόν ἐξ ἐπιφανοῦς ὄντα γένους, ἀλλά τόν ὑπάρχοντα τῷ τρόπῳ κρείττονα.

Τοῖς εὐγενέσι καί καλοῖς μάλιστα κατεπείγει, κάλλος μέν ἐπί τῆς ὄψεως, σωφροσύνην δέ ἐπί τῆς ψυχῆς, ἀνδρείαν δέ ἐπ᾽ ἀμφοτέρων τούτων· χάριν δέ ἐπί τῶν λόγων διατελεῖν ἔχουσι.

Διογένης. - Πυνθανομένου τινός, Τίνες τῶν ἀνθρώπων εὐγενέστατοι; Οἱ καταφρονοῦντες, εἶπε, πλούτου, δόξης, ἡδονῆς, ζωῆς· τῶν δέ ἐναντίων ὑπεράνων ὄντες, πενίας, ἀδοξίας, πόνου, θανάτου.

Ζήνων. - Ὁ αὐτός ἔφη, μή δεῖν ζητεῖν τούς (996) ἀνθρώπους, εἴ τινες ἐκ μεγάλων πόλεών εἰσιν, ἀλλ᾽ εἰ μεγάλων πόλεων ἄξιοι.

Ἐπιχάρμου.

Πνίγομ᾽ ὅταν εὐγένειαν οὐδέν ὢν κακῶς
λέγει τις, αὐτός δυσγενής ὢν τῷ τρόπῳ.
Τίς γάρ κατόπτρῳ καί τυφλῷ κοινωνία;

Χαρικλείου. - Εὐγενείας γάρ ἔμφασις καί κάλλους καί ὄψις, ληστρικόν ἦθος· οὐδέν· οὐδέν ὑποτάττειν καί κρατεῖν, καί τῶν αὐχμηροτάτων, δύναται.

Σωκράτ. - Σωκράτης ὁ φιλόσοφος, θεασάμενός τινα τῶν μαθητῶν, τοῦ μέν ἀγροῦ ἐπιμελούμενον, τῆς δέ πράξεως ἀμελοῦντα, Ὅρα, ὦ οὗτος, ἔφη, μή τόν ἀγρόν ἐξημερῶσαι βουλόμενος, τήν ψυχήν ἀγριώσῃ.

Πλουτάρχ. - Τί γάρ ἄλλο νομίζομεν εἶναι τήν εὐγένειαν, εἰ μή παλαιόν πλοῦτον, ἤ παλαιάν δόξαν; οὐδέτερον ἐφ᾽ ἡμῖν ὄν, ἀλλά τά μέν τύχης ἀδήλου, τά δέ ἀκρασίας χάριν ἀνθρωπίνης. Ὥστε ἐκ δυοῖν ἀλλοτρίων κρέμαται τό πεφυσωμένον ὄνομα, ἡ εὐγένεια. Καί ὁ πλοῦτος μέν, οὐχ ὁμοίους αὐτῷ τούς γεννηθέντας ποιεῖ· ἀλλ' ὁ ἐξ ἀρετῆς γεννηθείς, ἐκεῖνος εὐγενής εἰκονίζεται.

**ΛΟΓΟΣ ΞΔ΄.**

## Περί γέλωτος.

(≡15E_448≡> Λουκ. στ΄. - Οὐαί ὑμῖν, οἱ γελῶντες, ὅτι πενθήσετε καί κλαύσετε.

Ἐφ. ε΄. - Αἰσχρότης καί μωρολογία καί εὐτραπελία, καί τά οὐκ ἀνήκοντα, μηδέ ὀναμαζέσθω ἐν ὑμῖν· ἀλλά μᾶλλον εὐχαριστία.

Σολομ. ζ'. - Ὥσπερ φωνή ἀκανθῶν ὑπό τόν λέβητα, οὕτως ὁ γέλως τῶν ἀφρόνων.

Σιράχ κζ΄. - Διήγησις μωρῶν προσόχθισμα, καί ὁ γέλως αὐτῶν ἐν σπατάλῃ ἁμαρτίας.

Βασιλείου. - Ἄχρι μέν γάρ μειδιάματος φαιδροῦ τήν διάθεσιν τῆς ψυχῆς ὑποφαίνειν, οὐκ ἀπρεπές, ὅσον δεῖξαι μόνον τό γεγραμμένον, Καρδίας εὐφραινομένης, πρόσωπον θάλλει. Ἐκκαχλάζειν δέ τῇ φωνῇ, καί ἀναβράσσεσθαι τό σῶμα, οὐ τοῦ κατεσταλμένου τήν ψυχήν οὐδέ τοῦ περικρατῶς ἔχοντος ἑαυτοῦ. Βεβαιοῖ γάρ τόν λόγον ὁ σοφώτατος

Σολομών, ὅτι Ὁ μωρός ἐν γέλωτι, ἀνυψοῖ φωνήν αὐτοῦ· ἀνήρ δέ σοφός μόλις ἡσυχῇ μειδιάζει.

(=997=) Θεολ.

Γέλως γέλωτος εὖ φρονοῦσιν ἄξιος,

Μάλιστα μέν πᾶς, τό πλέον δ᾽ ὁ πορνικός.

Γέλως ἄτακτος, συλλέγει καί δάκρυον.

(≡15Ε_450≡> Γέλωτος θυμός ἔμφρων προτιμώτερος· αὐστηρᾷ γάρ διαθέσει προσώπου, κατορθοῦται ψυχή.

Αἱ μέν τοίνυν τῶν σοφῶν ψυχαί σκυθρωπάζουσι καί συστέλλονται· αἱ δέ τῶν ἀφρόνων ἐπαιρόμεναι διαχέονται.

Χρυσοστ. - Εἰ βούλει δεῖξαι σαφῶς ἡμῖν, ὅτι οὐ χαίρεις αἰσχρά φθεγγόμενος, μηδέ ἀκούειν ἀνέχου. Νῦν δέ πότε δυνήσῃ τούς ὑπέρ τῆς σωφροσύνης ἱδρῶτας ἐνεγκεῖν, κατά μικρόν ὑποῤῥέων ὑπό τοῦ γέλωτος, καί τῶν αἰσχρῶν τούτων ῥημάτων; καί ἀγαπητόν, ἁπάντων τούτων καθαρεύουσαν ψυχήν δυνηθῆναι γενέσθαι σεμνήν καί σώφρονα.

Οὐ δεῖ φιλογέλωτα εἶναι. Σχεδόν γάρ ὅταν τις ἐφηδυνθείη τῷ πολλῷ γέλωτι, ἰσχυράν καί μεταβολήν τόν τοιοῦτον.

Ἐκ τῶν Ἐπικτήτου. - Τά πολλά δέ τό γελᾷν ἀπέστω καί τό γέλωτα κινεῖν. Ὀλισθηρός γάρ ὁ τόπος εἰς ἰδιωτισμόν.

Ὁ γέλως μή πολύς ἔστω, μηδέ ἐπί πολλοῖς. Δείπνοις τοῖς ἔξω καί ἰδιωτικοῖς τό πολύ ἀπόταξαι· ἄν δέ γένηται καιρός, φυλάσσου. Ἴσθι γάρ ὅτι ἄν ἕτερος ᾖ μεμολυσμένος, καί τόν ἕτερον ἐμπλησθῆναι ἀνάγκη.

Ἰσοκράτ. - Μή παρά γέλοια σπούδαζε, μηδέ παρά τά σπουδαῖα τοῖς γελοίοις χαῖρε. Τό γάρ ἄκαιρον, πανταχοῦ λυπηρόν.

Μοσχίωνος. - Γελᾷν ὁ θέλων μετά μειρακίου, αἰσχράς ὕβρεις κερδήσει καί μέμψιν.

Κάτωνος. - Οἱ σπουδάζοντες ἐν τοῖς γελοίοις, ἐν τοῖς σπουδαίοις γίνονται καταγέλαστοι.

Στρατόνικ. - Στρατόνικος ὁ κιθαριστής θεασάμενός τινα ἀφυῶς τοξεύοντα, ἀπελθών ἔστη παρά τόν σκοπόν. Πυνθανομένου δέ τινος τήν αἰτίαν, Ὅπως, ἔφη, μή πληγῶ.

ΛΟΓΟΣ ΞΕ΄.

## Περί ἐνυπνίων.

(≡15Ε_452≡> Ματθ. κζ΄. - Μηδέν σοί καί τῷ δικαίῳ ἐκείνῳ· πολλά γάρ ἔπαθον σήμερον κατ᾽ ὄναρ δι᾽ αὐτόν.

Πράξ. θ΄. - Ἦν δέ τις μαθητής ἐν Δαμασκῷ, ὀνόματι Ἀνανίας, καί εἶπε πρός αὐτόν ὁ Κύριος ἐν ὁράματι· Ἀνανία. Ὁ δέ εἶπεν· Ἰδού ἐγώ, Κύριε. Ὁ δέ Κύριος πρός αὐτόν· Ἀναστάς πορεύθητι ἐπί τήν ῥύμην τήν καλουμένην Εὐθεῖαν, καί ζήτησον ἐν οἰκίᾳ Ἰούδα, Σαῦλον ὀνόματι Ταρσέα. Ἰδού γάρ προσεύχεται, καί εἶδεν ἐν ὁράματι ἄνδρα ὀνόματι Ἀνανίαν εἰσελθόντα, καί ἐπιθέντα αὐτῷ τάς χεῖρας ὅπως ἀναβλέψῃ.

Σολομ. λδ'. - Παραγίνεται ἐνύπνιον ἐν πλήθει πειρασμοῦ.

Σιράχ ε΄. - Ὡς ὁ δρασσόμενος σκιᾶς καί διώκων ἀνέμους, οὕτως ὁ προσέχων ἐνυπνίοις.

(1000) Βασιλείου. - Ὡς γάρ ἐπί πολύ, τά καθ᾽ ὕπνον φαντάσματα, τῶν μεθημερινῶν ἐννοιῶν εἰσιν ἀπηχήματα.

Πεφύκασι γάρ πως αἱ καθ᾽ ὕπνον φαντασίαι, ὡς τά πολλά, ἀπηχήματα εἶναι τῶν μεθημερινῶν φροντίδων. Ὁποῖα γάρ ἄν ᾖ τά κατά τόν βίον ἡμῶν ἐπιτηδεύματα, τοιαῦτα ἀνάγκη εἶναι καί τά ἐνύπνια.

Αἱ νύκτες τάς μεθημερινάς φροντίδας παραλαβοῦσαι, ἐν ταῖς αὐτῶν φαντασίαις ἐξαπατῶσι τόν νοῦν.

Τό κατ᾽ ὄναρ ἰδεῖν τά ποθούμενα, φέρει τοῖς ἀγαπῶσι παραμυθίαν.

Οἱ μέθῃ καί ἀδηφαγίᾳ δεδουλωμένοι, οὔτε ὕπνον αἱροῦνται γνήσιον καί εἰλικρινῆ, οὔτε ὀνειράτων ἀπαλλάττονται φοβερῶν.

(≡15Ε_454≡> Θεολόγου.

Μή σφόδρ᾽ ἕπεσθαι παιγνίοις ἐνυπνίων
Μηδ᾽ εὐπτόητον εἰς ἅπαντ᾽ ἔχειν φρένα
Μηδέ πτεροῦ μοι δεξιοῖς φαντάσμασι·
Λόχος τάδ᾽ ἐστί πολλάκις τοῦ δυσμενοῦς.
Πλουτοῦσι μωροί τοῖς ὀνείρασι πλέον,
Ἤ χρημάτων ἄβυσσον οἱ κεκτημένοι.

Χρυσοστ. - Ὁ τοῖς ὀνείροις προσέχων, εἰς ἅπαν ἀδόκιμος.

Ἰων. Κλίμ. - Φιλεῖ γάρ τό δαιμόνιον πολλάκις ἀνθρώποις τό μέλλον νύκτωρ λαλεῖν, οὐχ ἵνα φυλάξωνται μή παθεῖν [οὐ γάρ εἱμαρμένης δύνανται κρατεῖν,] ἀλλ᾽ ἵνα κουφότερον πάσχοντες φέρωσιν.

Νείλου. - Ὁ τοῖς ὀνείροις προσέχων, ἔοικε τῷ τήν σκιάν αὐτοῦ καταδιώκοντι.

Ὁπόταν ἐν τοῖς ὕπνοις τοῖς δαίμοσι πείθεσθαι ἀρξώμεθα, τότε λοιπόν καί ἐγρηγορότας ἐμπαίζουσιν.

Αἰσχίν. - Τό πέρα καθεύδειν τοῦ πρέποντος, τοῖς τεθνηκόσι μᾶλλον ἤπερ τοῖς ζῶσιν ἁρμόδιον.

**ΛΟΓΟΣ Ξστ΄.**

## Περί ἀκακίας καί μνησικακίας.

(≡15Ε_456≡> Ματθ. ιη΄. - Ἀμήν, λέγω ὑμῖν, ἐάν μή στραφῆτε καί γένησθε ὡς τά παιδία, οὐ μή εἰσέλθητε εἰς τήν βασιλείαν τῶν οὐρανῶν.

Ματθ. ε΄. - Ἐάν προσενέγκης τό δῶρόν σου εἰς τό θυσιαστήριον, κἀκεῖ μνησθῇς ὅτι ἔχει τι ὁ ἀδελφός σου κατά σοῦ, ἄφες τό δῶρόν σου, καί ὕπαγε πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καί τότε προσφέρῃς τό δῶρόν σου.

Α΄ Θεσσ. ε΄. - Ὁρᾶτε μή τις κακόν ἀντί κακοῦ ἀποδῷ τινι, ἀλλά πάντοτε τό δίκαιον διώκετε.

Ἐφ'. - Ὁ ἥλιος μή ἐπιδυέτω ἐπί τῷ παροργισμῷ ὑμῶν.

Γαλ. ε΄. - Εἰ ἀλλήλους δάκνετε καί κατεσθίετε, βλέπετε μή ὑπ' ἀλλήλων ἀναλωθῆτε.

(=1001=) Παροιμ. κδ΄. - Ἐάν πέσῃ ὁ ἐχθρός σου, μή ἐπιχαρῆς αὐτῷ· ἐν δέ τῷ ὑποσκελίσματι αὐτοῦ, μή ἐπαίρου, ὅτι ὄψεται Κύριος, καί οὐκ ἀρέσει αὐτῷ, καί ἀποστρέψει τόν θυμόν αὐτοῦ ἀπ᾽ αὑτοῦ.

Παροιμ. ιβ΄. - Ὁδοί μνησικάκων εἰς θάνατον.

Παροιμ. κα΄. - Ὁ μνησικακῶν, παράνομος.

Παροιμ. ιδ΄. - Ὁ ἄκακος πιστεύει παντί λόγῳ.

Παροιμ. α΄. - Ὅσον χρόνον ἔχονται ἄκακοι τῆς δικαιοσύνης, οὐκ αἰσχυνθήσονται.

Σιράχ κη΄. - Ἄφες ἀδίκημα τῷ πλησίον σου, καί τότε δεηθέντος σου, αἱ ἁμαρτίαι σου λυθήσονται.

(≡15E_458≡> Βασιλ. - Οὐ δεῖ ἐπί παροργισμῷ ἀδελφοῦ δῦναι τόν ἥλιον, μήποτε ἡ νύξ μεταστήσῃ μεταξύ ἀμφοτέρων, καί καταλίπῃ ἐν ἡμέρᾳ κρίσεως ἔγκλημα ἀπαραίτητον.

Ἥκιστα κακίαν οὐχ ὑφορᾶται, τό κακίας ἐλεύθερον.

Θεολόγου. - Ὁ μέν γάρ κακός τάχιστα ἄν καταγνοίη καί τοῦ ἀγαθοῦ· ὁ ἀγαθός δέ, οὐδέ τοῦ κακοῦ ῥᾳδίως. Τό γάρ εἰς κακίαν οὐχ ἕτοιμον, οὐδ᾽ εἰς ὑπόνοιαν εὐχερές.

Οὐδείς κακῷ κακόν ἰᾶται, ἀλλ᾽ ἀγαθῷ τό κακόν.

Χρυσοστ. - Ὅταν ἐννοήσωμεν ἅπερ ἐπάθομεν παρά τῶν συνδούλων, λογισώμεθα καί ἅπερ ἐποιήσαμεν εἰς τόν Δεσπότην, καί τῷ φόβῳ τῶν οἰκείων ἁμαρτημάτων, τόν θυμόν τόν ἐπί τοῖς ἀλλοτρίοις πλημμελήμασι ταχέως ἀπώσασθαι δυνησόμεθα.

Εἰ γάρ δεῖ μεμνῆσθαι ἁμαρτημάτων, τῶν οἰκείων δεῖ μεμνῆσθαι μόνον. Ἄν τῶν οἰκείων μνημονεύσωμεν, οὐδέποτε τά ἀλλότρια λογιούμεθα.

Ἄν ἀφῆτε τοῖς ἐχθροῖς ὑμῶν, ἀφεθήσεται ὑμῖν. Ἄφες δουλικά ἁμαρτήματα, ἵνα λάβῃς συγχώρησιν δεσποτικήν ἁμαρτημάτων. Εἰ δέ μεγάλα ἠδίκησεν, ὅσῳπερ ἄν μείζονα ἀφῇς, τοσούτῳ λήψῃ τήν συγχώρησιν. Διά γάρ τοῦτο ἐδειδάχθημεν λέγειν, Ἄφες ἡμῖν καθώς ἀφίεμεν· ἵνα μάθωμεν, ὅτι τό μέτρον τῆς ἀφέσεως παρ᾽ ἡμῶν πρῶτον λαμβάνει τήν ἀρχήν. Ὥστε ὅσῳπερ ἄν ὁ ἐχθρός ἐργάζηται, καί τοσούτῳ μείζονως εὐεργετεῖ. Σπεύδωμεν τοίνυν καί ἐπειγώμεθα καταλλάττεσθαι πρός τούς λελυπηκότας, ἄν τε δικαίως ἄν τε ἀδίκως ὀργίζωνται. Ἄν μέν γάρ ἐνταῦθα καταλλαγῇς, ἀπηλλάγης τῆς ἐκεῖ κρίσεως· ἄν δέ μεταξύ μενούσης τῆς ἔχθρας, θάνατος ἐπιστάς ἀπάγῃ, τήν ἀπέχθειαν μεσολαβήσας, εἰς τό δικαστήριον λοιπόν ἐκεῖνο τό φοβερόν εἰσαχθῆναι τήν δίκην ἀνάγκη· καί τήν ἐσχάτην δώσεις (≡15E_460≡> δίκην ἐπί τῇ ψήφῳ τοῦ δικαστοῦ πάντων ἐκείνων· καί ἀμφότεροι τιμωρίαν ὑποστήσεσθε ἀπαραίτητον, ὁ μέν δικαίως ὀργιζόμενος, διά τοῦτο ὅτι ἀδίκως, ὁ δέ δικαίως, διά τοῦτο αὐτό, ὅτι δικαίως ἐμνησικάκησεν

(=1004=) Ὅ τοίνυν διά νηστείας, διά ὀδυρμῶν καί εὐχῶν, καί σάκκου καί σποδοῦ καί μυρίας ἐξομολογήσεως μόλις ἕτεροι κατορθοῦσι, τό τά ἁμαρτήματα ἐξαλείφειν λέγω τά ἑαυτῶν· τοῦτο ἔξεστιν ἡμῖν ῥᾳδίως ποιεῖν χωρίς σάκκου καί σποδοῦ καί νηστείας, ἄν μόνον ἀπό τῆς διανοίας ἐξαλείψωμεν τήν ὀργήν, καί μετά εἰλικρινείας ἀφῶμεν τοῖς ἠδικηκόσιν ἡμᾶς.

Παντός ἁμαρτήματος τό μνησικακεῖν χεῖρον.

Τό κακίας ἐλεύθερον, καί ὑφορᾶσθαι κακίαν ἀργότερον.

Ὅταν ἴδῃς τόν ἐχθρόν ἐμπεσόντα εἰς τάς χεῖρας τάς σάς, μή νόμιζε τιμωρίας, ἀλλά σωτηρίας ἐκεῖνον εἶναι τόν καιρόν. Διά τοῦτο τότε μάλιστα δεῖ φείδεσθαι τῶν ἐχθρῶν, ὅταν αὐτῶν γενώμεθα κύριοι.

Ἐλύπησέ τις; μή ἀντιλυπήσῃς· ἐπεί γέγονας ἐκείνῳ πάλιν ἴσος. Οὐδείς γάρ κακόν κακῷ ἰᾶται, ἀλλ᾽ ἀγαθῷ τό κακόν.

Νείλου. - Ὅς ἀνταδίδωσι κακά ἀντί ἀγαθῶν, οὐκ ἐξενεχθῇ κακά ἐκ τοῦ οἴκου αὐτοῦ.

Φίλωνος. - Συγνώμην αἰτούμενος ἁμαρτημάτων, συγγίνωσκε καί αὐτός τοῖς εἰς σέ πλημμελοῦσιν· ὅτι ἀφέσει ἀντιδίδοται ἄφεσις, καί ἡ πρός τούς ὁμοδούλους ἡμῶν καταλλαγή, τῆς θείας ὀργῆς γίνεται ἀπαλλαγή.

Εὐαγρ. - Μνησικακίαν σβέννυσι δῶρα· καί πειθέτω σε Ἰακώβ τόν Ἡσαῦ δόμασιν ὑπελθών μετά τριακοσίων εἰς ἀπάντησιν ἐξελθόντα. Ἀλλ᾽ ἡμεῖς πένητες ὄντες τραπέζῃ τήν χρείαν πληρώσωμεν.

Μαρτίνου ἀναχωρητοῦ. - Ὁ δαίμοσι μνησικακῶν, ἀνθρώποις οὐ μνησικακεῖ· εἰρηνεύει δέ μετά δαιμόνων, ὁ τῷ ἀδελφῷ μηνιῶν.

(≡15E_462≡> Κροῖσος. - Κροῖσος τῷ παιδοφόνῳ τήν ὀργήν ἀφεῖναι λέγεται, ἑαυτόν παραδόντι εἰς τιμωρίαν· καί Κύρος ὁ μέγας αὐτῷ τῷ Κροίσῳ φίλος γενέσθαι μετά νίκην.

Μοσχίωνος. - Ἐν οἷς πλήττειν ἄλλους ἐθέλεις, ἐν τούτοις βλάβην ἔλπιζε τήν μείζονα.

Ἐπικούρου. - Ἐχθροῦ δεηθέντος μή ἀποστραφῇς τήν ἀξίωσιν· πλήν ἀσφαλίζου σεαυτόν. Οὐδέν γάρ κυνός διαφέρει.

Θεοπόμπου.- Σπούδαζε τάς μέν ἔχθρας, ὀλιγοχρονίους ποιεῖσθαι· τάς δέ ἀγάπας, πολυχρονίους.

Αἰσχίνης. - Αἰσχίνης ὁ ῥήτωρ, μετά τό Ἀθηναίους αὐτοῦ καταψηφίσασθαι, Δημοσθένους αὐτῷ μυρίας Ἀττικάς πέμψαντος, καί γενναίως τήν περίστασιν φέρειν παρακαλοῦντος, καί πῶς, ἔφη, δύναμαι μή λυπεῖσθαι τοιαύτης ἐκβαλλόμενος πατρίδος, ἐν ᾗ οἱ ἀδικηθέντες καί προσωφελοῦσι τούς ἀδικοῦντας;

**ΛΟΓΟΣ ΞΖ΄.**

## Περί βίου ἀνωμαλίας.

(≡15E_464≡> Ἰωάν. ιστ΄. - Ἀμήν, ἀμήν λέγω ὑμῖν, (=1005=) ὅτι κλαύσετε καί θρηνήσετε ὑμεῖς, ὁ δέ κόσμος χαρήσεται· ἀλλ᾽ ἡ λύπη ὑμῶν εἰς χαράν

γενήσεται. Ἡ γυνή ὅταν τίκτῃ, λύπην ἔχει, ὅτι ἦλθεν ἡ ὥρα αὐτῆς· ὅταν δέ γεννήσῃ τό παιδίον, οὐκ ἔτι μνημονεύει τῆς θλίψεως διά τήν χαράν, ὅτι ἐγεννήθη ἄνθρωπος εἰς τόν κόσμον.

Α΄. Τιμ. στ΄. - τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελε μή ὑψηλοφρονεῖν, μηδέ ἠλπικέναι ἐπί πλούτου ἀδηλότητι, ἀλλ᾽ ἐν τῷ Θεῷ τῷ ζῶντι.

Σολομ. β΄. - Καπνός ἡ πνοή ἐν ῥίσιν ἡμῶν· καί παρελεύεται ὁ βίος ἡμῶν ὡς ἴχνη νεφέλης. Σκιᾶς γάρ πάροδος ὁ βίος ἡμῶν.

Σολομ. ε΄. - Τί ὠφέλησεν ἡμᾶς ἡ ὑπερηφανία ἡμῶν; Τί ὁ πλοῦτος μετά ἀλαζονείας συμβέβληται ἡμῖν; Παρῆλθε πάντα ἐκεῖνα ὡς σκιά, καί ὡς ἀγγελία διατρέχουσα· ὡς ναῦς διερχομένη κυμαινόμενον ὕδωρ, ἧς διαβάσης οὐκ ἔστιν ἴχνος εὑρεῖν, οὐδέ ἀτραπόν πορείας αὐτῆς ἐν κύμασιν, ὡς ὀρνέου διαπαντός ἀέρα οὐδέν εὑρίσκεται τεκμήριον πορείας.

Σιράχ ια΄. - Πολλοί τύραννοι ἐκάθισαν ἐπί ἐδάφους· ὁ δέ ἀνυπονόητος ἐφόρεσε διάδημα·

Βασιλείου. - Ὥσπερ οὖν θάλασσαν ἀμήχανον ἐπί πολύ τήν αὐτήν διαρκέσαι· ἥν γάρ νῦν λείαν καί σταθηράν, μικρόν ὕστερον ὄψει βίαις ἀνέμων τραχυνομένην· καί πάλιν τήν ἀγριαίνουσαν καί βρασσομένην τῷ κλύδωνι, βαβεῖα γαλήνη κατεστόρεσεν, οὕτω καί τά τοῦ βίου πράγματα ῥᾳδίως λαμβάνει περιστροφάς ἐφ᾽ ἑκάτερα.

Θεολόγου. - Φύσει μέν οὐδέν τῶν ἀνθρωπίνων (≡15Ε_466≡> βέβαιον οὐδέ ὁμαλόν οὐδέ αὔταρκες· ἀλλά κύκλος τις τῶν ἡμετέρων περιτρέχει πραγμάτων, ἄλλοτε ἄλλας ἐπί μιᾶς ἡμέρας πολλάκις, ἔστι δέ ὅτε καί ὥρας, φέρων μεταβολάς· καί αὔραις μᾶλλόν ἐστι πιστεύειν οὐχ ἱσταμέναις, καί νηός ποντοπορούσης ἴχνεσιν, καί νυκτός ἀπατηλοῖς ὀνείρασιν, ὧν πρός ὀλίγον ἡ χάρις, καί ὅσα κατά ψάμμον παῖδες τυποῦσι παίζοντες, ἤ ἀνθρώπων εὐημερίαις.

Χρυσοστ. - Ὥσπερ γάρ ἡ τῶν πλουσίων ὑδάτων φορά, δεξαμένη τό ἐπιῤῥέον, πομφόλυγας διανίστησι· καί αἱ μέν αὐτῶν ἅμα τῷ γενέσθαι ἐῤῥάγησαν, αἱ δέ πλεῖον ὀγκωθεῖσαι, μετέπειτα καί αὐταί ἐῤῥάγησαν· τόν αὐτόν τρόπον ἡ θάλασσα τοῦ βίου τούτου, τούς μέν ὀλίγον φανέντας ἐκάλυψε, τούς δέ ἐπιπλεῖον διαρκέσαντας καί αὐτούς κατεπόντισεν.

(=1008=) Πάντων σου τῶν πραγμάτων κατευοδουμένων, ἐκδέχου μεταβολήν· καί πάλιν ὑπό τῶν ἀπροσδοκήτων συμφορῶν κυκλούμενος, ἔλπιζε τά χρηστά καί κρείττονα.

Νεκρῶν ἀχρηστότερα τά λαμπρά τοῦ παρόντος βίου.

Ἐν τῇ εὐδίᾳ ὤν τοῦ βίου, ἐκδέχου ποτέ καί χειμῶνα πραγμάτων.

Τό περί τά φαινόμενα τήν σπουδήν ἔχειν, ἴδιόν ἐστιν τοῖς μηδεμίαν τοῦ μέλλοντος αἰῶνος ἑαυτοῖς ὑποτιθεμένοις ἐλπίδα.

Νείλου. - Μή ἐξαπάτω ἡμᾶς ἐν τῷ κόσμῳ τούτῳ περιφανῆ καί λαμπρά δεικνύμενα πράγματα. Παρέρχεται γάρ πάντως, καί οὐδέν τῶν φαινομένων στάσιμον.

Πάντων σου τῶν πραγμάτων κατευοδουμένων, ἐκδέχου ζημίαν.

Δίωνος Ῥωμαίου. - Πολλοί μέν ἐπί τοῖς ἀμείνοσιν ἀλγοῦσι, πολλοί δέ καί ἐπί τοῖς χείροσι χαίρουσι. Πόσοι μέν γάρ πλουτοῦντες ἄχθονται! Πόσοι δέ πενόμενοι ἥδονται! Ἄλλους κάλλος καί ἰσχύς ἔβλαψεν, ἄλλους αἶσχος καί ἀσθένεια ὠφέλησεν. (≡15E_468≡> Ἕτεροι τήν εἰρήνην πρό τοῦ πολέμου τιμῶσιν, ἕτεροι πολεμεῖν μᾶλλον ἤ εἰρήνην ἐθέλουσι. Τί δ᾽ οὐκ ἀεί τυραννοῦντές τινες ὀλοφύρονται; Καί τό μέγιστον, πλεῖστοι μέν ὅσοι ἀηδῶς ζῶσιν· πλεῖστοι δέ ἡδέως ἀποθνήσκουσιν.

Σωκράτης. - Ταυτόν ἐστιν ἐπι εὐτυχίᾳ μέγα φρονεῖν, καί ἐπί ὀλισθηρᾶς ὁδοῦ σταδιοδρομεῖν.

Ἀριστωνύμ. - Ἔοικεν ὁ βίος θεάτρῳ. Διό πολλάκις χείριστοι τόν κάλλιστον ἐν ἑαυτοῖς κατέχουσι τόπον.

Δημοκρίτ. - Ταίς τῶν καιρῶν μεταβολαῖς, καί οἱ σφόδρα δυνατοί τῶν ἀσθενεστέρων ἐνδεεῖς γίνονται.

Ἱπποθοούντ. - Ἄνθρωπος ὤν, μέμνησο τῆς κοινῆς τύχης.

Ἰσιδώρου. - Θνητός πεφυκώς, τά ὀπίσω πειρῶ βλέπειν.

Εὐριπίδου.

Βέβαιον οὐδέν ἐστιν ἐν θνητῷ γένει,
Βιοῖ γάρ οὐδείς ὅν προαιρεῖται τρόπον.

Ἀνωνύμου.

Οὐκ ἔστιν ὅστις πάντ᾽ ἀνήρ εὐδοκιμεῖ.
Εἶναι δ᾽ ὑπόλαβε καί σέ τῶν πολλῶν ἕνα.

Διογένης.

Ὁ θνητόν ἀνδρῶν καί ταλαίπωρον γένος,
Ὡς οὐδέν ἐσμεν πλήν σκιαῖς ἐοικότες,
Βάρος περισσόν γῆς ἀναστροφώμενοι.

Ὁ Ἀπελλῆς ὁ ζωγράφος ἐρωτηθείς, διατί τήν Τύχην καθημένην ἔγραψεν, εἶπεν, Οὐχ ἕστηκε γάρ.

Βίας. - Ὁ αὐτός ἔλεγε, τόν βίον οὕτω μετρεῖν, ὡς καί πολύν, καί ὀλίγον χρόνον βιωσόμενος.

(=1009=) Σοφοκλ. ἐν Αἴαντι.

Ὡς ἡμέρα κλίνει τε κἀνάγει πάλιν,
Οὕτως ἅπαντα τά ἀνθρώπινα.

**ΛΟΓΟΣ ΞΗʹ.**

## Περί τοῦ, ὅτι δεῖ τιμᾷν ἀρετήν καί κολάζειν κακίαν.

(≡15E_470≡> Ἰωάν. εʹ. - Ἐκπορεύσονται οἱ τά ἀγαθά ποιήσαντες, εἰς ἀνάστασιν ζωῆς· οἱ δέ τά φαῦλα πράξαντες, εἰς ἀνάστασιν κρίσεως.

Βʹ Πέτρ. βʹ. - Οἶδεν Κύριος εὐσεβεῖς ἐκ πειρασμοῦ ῥύεσθαι· ἀδίκους δέ εἰς ἡμέραν κρίσεως κολαζομένους τηρεῖν.

Παροιμ. κβʹ. - Πανοῦργος, ἰδών πονηρόν τιμωρούμενον, κραταιῶς αὐτός παιδεύεται.

Σιράχ ι΄. - Οὐ δίκαιον ἀτιμάσαι πτωχόν συνετόν, καί οὐ καθῆκον δοξάσαι ἁμαρτωλόν.

Βασιλείου. - Ἐάν οἱ σωφρονοῦντες τούς φαύλους ἴδωσιν ἀτιμαζομένους, πολύ προθυμότερον τῆς ἀρετῆς ἀνθέξονται.

Ἄλλος μέν οὖν εἴη περί ταῦτα τολμηρός καί γεννάδας· μᾶλλον δέ εἴη μηδείς. Ἐγώ δέ ὀκνῶ κακίᾳ δοῦναι πάντων τήν ἐντεῦθεν κόλασιν, ἤ εὐσεβείᾳ τήν ἄνεσιν. Ἀλλ᾽ ἔστι μέν ὅτε καί πρός τι χρήσιμον, ἤ κακίας ἐγκοπτομένης, δυσπάθεια τῶν πονηρῶν· ἤ ἀρετῆς ὁδοποιουμένης, εὐπάθεια τῶν βελτιόνων· οὐκ ἀεί δέ, οὐδέ πάντως· ἀλλ᾽ εἶναι τοῦτο μόνον καιροῦ τοῦ μέλλοντος, καθ᾽ ὅν οἱ μέν τά τῆς ἀρετῆς ἆθλα, οἱ δέ τά τῆς κακίας ἐπιτίμια δέξονται.

Χρυσοστ. - Δός τῷ δεομένῳ, καί μή δῷς τῷ ὀρχουμένῳ, ἵνα μή μετά τῶν σῶν χρημάτων καί τήν ψυχήν (≡15Ε_472≡> ἀπολέσῃς τήν ἐκείνου. Σύ γάρ αἴτιος εἶ τῆς ἐκείνου ἀπωλείας, διά τῆς ἀκαίρου φιλοτιμίας. Εἰ γάρ οἱ ἐπί τῆς ὀρχήστρας ᾔδεσαν, ὅτι τό ἐπιτήδευμα αὐτοῖς ἀκερδές ἔμελλεν ἔσεσθαι, πάλαι ἄν ἐπαύσαντο ταῦτα ἐπιτηδεύοντες.

Ἡσαΐ. γ΄. - Ἀδικεῖ τούς ἀγαθούς, ὁ φειδόμενος τῶν κακῶν.

Ὅσοι τούς ἀδικοῦντας κολάζουσιν, οὗτοι τούς ἄλλους ἀδικεῖσθαι κωλύουσιν.

Ὁ ἀρετήν τιμῶν, πρώτην ἀλήθειαν τιμᾷ, καί μάλιστα ὡς ἀγαθοῦ παντός ἡγεμονεύουσαν.

Σόλων.- Σόλων ὁ σοφός, ἐκείνην εἶπεν ἄριστα οἰκεῖσθαι τήν πόλιν, ἐν ᾗ τούς ἀγαθούς συμβαίνει τιμᾶσθαι· κάκιστα δέ οἰκεῖσθαι, ἐν ᾗ τούς κακούς.

Σέξτου. - Δύο ἀφορμαί κινοῦσιν ἄνθρωπον εἰς Θεοῦ ἐπιμέλειαν· τιμωρία δυσσεβείας, καί γνώμης εὐσεβοῦς ἀμοιβαί.

Ἀφόρητος γίνεται κακία ἐπαινουμένη.

Προκοπίου ῥήτορος. - Μή τιμωμένης ἀρετῆς, ἡ κακία παῤῥησιάζεται.

(=1012=) Φίλωνος. - Εἰ βούλει διττῶς εὐδοκιμεῖν, καί τούς κάλλιστα ποιοῦντας προτίμα, καί τούς τά χείρονα πράττοντας ἐπιτίμα.

Σωκράτης. - Ἐρωτηθείς ποία πόλις ἄριστα οἰκεῖται, ἔφη, Ἡ μετά νόμου ζῶσα, καί τοῖς ἀδικοῦσιν ἐπεξιοῦσα.

**ΛΟΓΟΣ ΞΘ΄.**

## Περί φιλαυτίας.

(≡15Ε_474≡> Ἰωάν. ιβ΄. - Ὁ φιλῶν τήν ψυχήν αὐτοῦ, ἀπολέσει αὐτήν· καί ὁ μισῶν αὐτήν ἐν τῷ κόσμῳ τούτῳ, εἰς ζωήν αἰώνιον φυλάξει αὐτήν.

Β΄. Κορινθ. ι΄. - Οὐχ ὁ ἑαυτόν συνιστῶν, ἐκεῖνός ἐστι δόκιμος, ἀλλ᾽ ὅν ὁ Κύριος συνίστησιν.

Φιλιππ. β΄. - Οἱ πάντες τά ἑαυτῶν ζητοῦσιν, οὐ τά τοῦ Χριστοῦ.

Σιράχ λξ΄. - Τέκνον, ἐν τῇ ζωῇ σου πείρασον τήν ψυχήν σου, καί ἴδε τί πονηρόν αὐτῇ, καί μή δῷς αὐτῇ· οὐ γάρ πάντα πᾶσι συμφέρει.

Παροιμ. κα΄. - Πᾶς ἀνήρ φαίνεται ἑαυτῷ δίκαιος· κατευθύνει δέ καρδίας Κύριος.

Παροιμ. κζ΄. - Ἐγκωμιαζέτω σε ὁ πέλας, καί μή τό σόν στόμα· ἀλλότρια, καί μή τά σά χείλη.

Βασιλ. - Ὄνειδος γάρ ἀνδρί, τῷ γε ὡς ἀληθῶς τῆς προσηγορίας ταύτης ἀξίῳ, καλλωπιστήν καί φιλοσώματον εἶναι, ἤ πρός ἄλλο τι τῶν παθῶν ἀγεννῶς διακεῖσθαι. Τό γάρ τήν πᾶσαν σπουδήν εἰσφέρεσθαι, ὅπως ὡς κάλλιστα αὐτοῦ τό σῶμα ἕξοι,οὐ διαγινώσκοντος ἑαυτόν ἐστιν, οὐδέ συνιέντος τοῦ σοφοῦ παραγγέλματος.

Χρυσοστ. - Οὐδείς φίλος, οὐδείς ἀδελφός. Τά ἑαυτῶν σκοποῦμεν ἕκαστος. Διά τοῦτο καί τά ἑαυτῶν κολοβοῦμεν, καί ἀσθενεῖς καί εὐκαταγώνιστοι καί ἀνθρώποις καί διαβόλῳ ἐσμέν, ἐκ τοῦ μή συνασπίζειν ἀλλήλους. Καί γάρ ἐν πολέμῳ καί (≡15E_476≡> παρατάξει, ὁ πρός τοῦτο μόνον ὁρῶν στρατιώτης, ὅπως ἑαυτόν διασώσῃ φυγών, καί τούς ἄλλους μεθ᾽ ἑαυτοῦ συναπόλλυσιν· ὥσπερ οὖν ὁ γενναῖος, καί ὑπέρ τῶν ἄλλων τά ὅπλα τιθέμενος, μετά τῶν ἄλλων καί ἑαυτόν διασώζει.

Ὁ μή καταδεχόμενος τήν παρά τοῦ ἀδελφοῦ θεραπείαν προσαγομένην αὐτῷ, ἀσύμφωνός ἐστι καί αὐτός ἑαυτῷ.

Θεολόγου. - Πάντες μέν εὐσεβεῖς ἐξ ἑνός τοῦ καταγινώσκειν ἀλλήλων ἀσέβειαν· τῶν μέν ἰδίων πρᾶοι κριταί, τῶν δέ ἀλλοτρίων ἀκριβεῖς ἐξετασταί.

Συνῶμεν ἀλλήλοις πνευματικῶς· γενώμεθα φιλάδελφοι μᾶλλον ἤ φίλαυτοι.

Φίλων. - Οἱ ἑαυτῶν μόνον ἕνεκα πάντα πράττοντες, φιλαυτίας μέγιστον κακόν ἐπιτηδεύουσιν.

Κριτίου.

Δεινόν δ᾽ ὅταν τις μή φρονῶν δοκῇ φρονεῖν.

Ἀγαθοί δέ τό κακόν ἐσμεν ἐφ᾽ ἑτέρων ἰδεῖν·

Αὐτοί δ᾽ ὅταν ποιῶμεν, οὐ γινώσκομεν.

(=1013=) Οὐδείς ἐπ᾽ αὐτοῦ τό κακόν συνορᾷ, Πάμφιλε,

Ἑτέρου δ᾽ ἀσχημονοῦντος, σοφῶς ὄψεται.

Διογένης. - Διογένης ἐρωτηθείς, Τί χαλεπώτατον; Τό γινώσκειν ἑαυτόν, ἔφη. Πολλά γάρ ὑπό φιλαυτίας ἕκαστον ἑαυτῷ προστιθέναι.

Ὁ αὐτός, τῶν ἀνθρώπων ἐνίους ἔφη τά δέοντα λέγοντας, ἑαυτῶν οὐκ ἀκούειν· ὥσπερ καί τάς λύρας καλόν φθεγγομένας οὐκ αἰσθάνεσθαι.

Πλάτων. - Τό ἐξαπατᾶσθαι αὐτόν ὑφ᾽ αὑτοῦ πάντων χαλεπώτατον. Ὅταν γάρ μή μικρόν [μακρόν] ἀποσταθῇ, ἀλλ᾽ ἀεί παρῇ ὁ ἐξαπατήσων, πῶς οὐ δεινόν;

ΛΟΓΟΣ Ο΄.

## Περί τοῦ, ὅτι εὔκολος ἡ κακία, καί δυσπόριστος ἀρετή.

(≡15E_478≡> Ματθ. ζ΄. - Εἰσέλθετε διά τῆς στενῆς πύλης, ὅτι πλατεῖα ἡ πύλη, καί εὐρύχωρος ἡ ὁδός ἡ ἀπάγουσα εἰς τήν ἀπώλειαν.

Ἑβρ. ιβ΄. - Πᾶσα παιδεία, πρός μέν τό παρόν οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλά λύπης· ὕστερον δέ, καρπόν εἰρηνικόν τοῖς δι᾿ αὐτῆς ἐγγεγυμνασμένοις ἀποδίδωσιν.

Παροιμ. ιστ΄. - Ἔστιν ὁδός, ἥ δοκεῖ παρά ἀνθρώποις ὀρθή εἶναι, τά δέ τελευταῖα αὐτῆς ἔρχεται εἰς πυθμένα ᾅδου.

Βασιλείου. - Τί τῶν ἀγαθῶν εὔκολον; Τίς καθεύδων τρόπαιον ἔστησεν; Τίς τρυφων καί καταυλούμενος, τοῖς τῆς καρτερίας στεφάνοις κατεκοσμήθη; Οὐδείς μή δραμῶν ἀνείλετο βραβεῖον. Πόνοι γεννῶσι δόξαν· κάματοι δέ προξενοῦσι στεφάνους.

Πολλοί πολλά συναθροίσαντες ἐκ νεότητος, περί τά μέσα τοῦ βίου γενόμενοι, ἐπαναστάντων αὐτοῖς πειρασμῶν ἐκ τῶν πνευμάτων τῆς πονηρίας, οὐκ ἤνεγκαν τοῦ χειμῶνος τό βάρος, διά τό τήν κυβέρνησιν αὐτοῖς μή παρεῖναι· ἀλλά πάντων ἐκείνων τήν ζημίαν ὑπέμειναν.

Οὔτε γάρ πῦρ εὐκαταπρήστου ὕλης ἁψάμενον, δυνατόν μή οὐχί ἐπί πᾶσαν αὐτήν διαβῆναι, ἄλλως τε κἄν ἐπιτύχῃ πνεύματος ἐπιφόρου τήν φλόγα διακομίζοντος· οὔτε τήν ἁμαρτίαν ἑνός ἁψαμένην, μή οὐχί ἐπί πάντας τούς ἐγγίζοντας διελθεῖν, ἐξαπτόντων αὐτήν τῶν πνευμάτων τῆς πονηρίας.

(≡15E_480≡> Θεολόγ. - Δυσκατόρθωτος ἡ ἀρετή, καί οὐ μικροῖς ἁλίσκεται πόνοις.

Σπάνιον ἡ τοῦ ἀγαθοῦ κτῆσις καί πρόσαντες, κἄν εἰ πολύ τό μεθέλκον εἴη καί προκαλούμενον.

Πρόχειρον πρᾶγμα ἡ μοχθηρία, καί οὐδέν οὕτω ῥᾴδιον ὡς τό γενέσθαι κακόν.

Τῆς αὐτῆς ἐστι δυσχερείας, καί κτήσασθαί τι τῶν ἀγαθῶν οὐχ ὑπάρχον, καί κτηθέν διασώσαθαι. (=1016=) Πολλάκις γάρ ὅ μέν σπουδή προσέλαβε ῥᾳθυμία διέφθειρεν· ὅ δέ ὄκνος ἀπώλεσεν, ἀνεκαλέσατο ἐπιμέλεια.

Κακίας ῥᾷον μεταλαβεῖν, ἤ ἀρετῆς μεταδοῦναι.

Δύσληπτον μέν τό ἀγαθόν τῇ ἀνθρωπίνῃ φύσει, ὥσπερ καί τό πῦρ ὕλῃ τῇ ὑγροτέρᾳ· ἕτοιμοι δέ πρός τήν τοῦ κακοῦ ἐργασίαν οἱ πλεῖστοι καί ἐπιτήδειοι.

Τό ἐν κακίᾳ περίβλεπτον, πολλούς εἰς τόν ὅμοιον ζῆλον τῶν εὐολισθήτων ἐφέλκεται.

Πρόχειρον ἡ πονηρία τῷ κακῷ μᾶλλον ἀκολουθεῖν, ἤ ὑπό τοῦ κρείττονος ἀνακόπτεσθαι.

Ῥᾷον γάρ ἀπ᾿ ἀρχῆς μή ἐνδοῦναι κακίᾳ καί προ«οῦσαν διαφυγεῖν, ἤ προβαίνουσαν ἀνακόψαι καί φανῆναι ταύτης ἀνώτερον· ὥσπερ καί πέτραν ἀπ᾿ ἀρχῆς αἱρῆσαι καί κατασχεῖν, ἤ φερομένην ἀνώσασθαι.

Πολλή μέν ἡδονή τῇ κακίᾳ, πολύς δέ τῇ ἀρετῇ συνέξευκται πόνος καί ἱδρώς. Καί ποία σοι χάρις ἦν; Τίνα δ᾽ ἄν ἔλαβες μισθόν, εἰ μή ἐπίπονον τό πρᾶγμα ἦν; Καί γάρ πολλούς ἔχω δεῖξαι, φύσει τό μίγνυσθαι γυναικί μισοῦντας. Τούτους οὖν σώφρονας καλέσομεν ἤ στεφανώσομεν; Οὐδαμῶς. Σωφροσύνη ἐστιν ἐγκράτεια, καί τό μαχόμενον περιγενέσθαι τῶν ἡδονῶν.

Γρηγ. Νύσσ. - Πολλή πρός τήν κακίαν ἐστίν ἡ εὐκολία, καί ὀξύῤῥοπος ἐπί τό χεῖρον ἡ φύσις.

(≡15Ε_482≡> Ἰων. Κλίμ. - Κόπῳ πολλῷ καί μόχθῳ καί ἱδρῶτι κατορθοῦται ἐν ἡμῖν ἦθος χρηστόν καί εὐκατάστατον· καί τά πολλῷ μόχθῳ κατορθούμενα, δυνατόν ἐν μιᾷ καιροῦ ῥοπῇ ἀπολέσαι.

Διογένης. - Ἡμέρας ποτέ λύχνος ἅψας πειήει· πυνθανομένων δέ τινων πρός τί τοῦτο, ἔλεγεν ἄνθρωπον ζητεῖν.

ΛΟΓΟΣ ΟΑ΄.

## Περί τοῦ, ὅτι οὐκ ἀεί τό πλεῖστον ἄριστον.

(≡15Ε_484≡> Λουκ. κα΄. - Ἀναβλέψας δέ ὁ Ἰησοῦς, εἶδεν τούς βάλλοντας τά δῶρα αὐτῶν εἰς τό γαζοφυλάκιον πλουσίους. Εἶδε δέ καί τινα χήραν πενιχράν, βαλοῦσαν ἐκεῖ δύο λεπτά, καί εἶπεν, Ἀληθῶς λέγω ὑμῖν, ἡ χήρα ἡ πτωχή αὕτη πλείω πάντων ἔβαλεν. Ἅπαντες γάρ οὗτοι ἐκ τοῦ περισσεύοντος αὐτοῖς ἔβαλον εἰς τά δῶρα τοῦ Θεοῦ· αὕτη δέ ἐκ τοῦ ὑστερήματος αὐτῆς ἅπαντα τόν βίον, ὅν εἶχεν, ἔβαλεν.

Α΄ Κορινθ. ιδ΄. - Ἐν ἐκκλησίᾳ θέλω πέντε λόγους διά τοῦ νοός μου λαλῆσαι, ἤ μυρίους λόγους ἐν γλώσσῃ.

(=1017=) Σολομ. δ΄. - Ἀγαθόν πλήρωμα δρακός ἀναπαύσεως, ὑπέρ πληρώματος δύο δρακῶν ἐν μόχθῳ.

Σιράχ ις΄. - Κρεῖσσον εἷς δίκαιος , ἤ μύριοι παράνομοι· καί ἀποθανεῖν ἄτεκνον, ἤ ἀσεβῆ τέκνα ἔχειν.

Ἀπό ἑνός συνετοῦ συνοικισθήσεται πόλις· φυλή δέ ἀνόμων ἐρημωθήσεται ἐν τάχει.

Βασιλείου. - Πολλάκις γάρ ὁ ἐν τῷ μέσῳ μικρόν τι κατορθώσας, μείζων ἐστί τοῦ ἐν ἀφθονίᾳ τό πᾶν κατορθώσαντος.

Εἰ γάρ ἄρτος τήν καρδίαν ἀνθρώπου στηρίζει, οὐ δεῖ πλέον τοῦ ἀναγκαίου τῆς τροφῆς τό προσόψημα ἀλόγως προσφέρεσθαι.

Θεολόγου. - Κρείσσων ὀλιγοχρόνιος βασιλεία μακρᾶς τυραννίδος, καί ὀλίγη μερίς τιμία, πολλῆς κτήσεως ἀτίμου καί σφαλερᾶς, καί πολλοῦ σκότους ὀλίγον φῶς.

(≡15Ε_486≡> Χρυσοστ. - Οὐ τῷ μέτρῳ τῶν διδομένων ἐλεημοσύνη κρίνεται, ἀλλά τῇ δαψιλείᾳ τῆς γνώμης.

Ἐν ἁμίλλαις πονηραῖς ἀθλιώτερος ὁ νικήσας, διότι ἀπέρχεται τό πλέον ἔχων τῆς ἁμαρτίας.

Πλάτωνος. - Τοῦ πλείονος βίου καί φαυλοτέρου, τόν ἐλάσσω καί ἀμείνονα ὄντα παντί πάντως προαιρετέον.

Ἰσοκράτ. - Προαιρετέον μέτριον μετά δικαιοσύνης μᾶλλον, ἤ μέγαν πλοῦτον μετ᾽ ἀδικίας.

Δημοσθ. - Οὗτος θεασάμενός τινα δημαγωγόν ἀφυῆ μέγα βοῶντα, ἔφη, Ἀλλ᾽ οὐ τό μέγα, εὖ ἐστι· τό δέ εὖ, μέγα.

Ἐπικτήτου. - Τῶν ἡδέων τά σπανιώτατα γινόμενα μάλιστα τέρπει.

Ἀλέξανδρ. - Ἀλέξανδρος ἀκούσας ὅτι Δαρεῖος τριάκοντα μυριάδας εἰς παράταξιν ἄγει, ἔφη· εἷς μάγειρος οὐ φοβεῖται πολλά πρόβατα.

Ὁ αὐτός, κατασκόπου λέγοντος αὐτῷ, πλείους εἶναι τούς Δαρείου, ἔφη· Καί τά πρόβατα πλείονα ὄντα, ἑνός ἤ δευτέρου λύκου χειροῦνται.

## ΠΡΟΣ ΤΟΝ ΘΕΙΟΤΑΤΟΝ ΒΑΣΙΛΕΑ ΤΟΝ ΑΧΡΙΔΗΝ *

Ἐκ τῶν ξγ') ἀπόρων, Πρός τόν θειότατον βασιλέα τόν Ἀχριδήν.

(≡15Ε_488≡> Τό γάρ Πνεῦμα τό ἅγιον, ὥσπερ φύσει κατ᾽ οὐσίαν ἐστί τοῦ Θεοῦ καί Πατρός, οὕτως καί τοῦ Υἱοῦ φύσει κατ᾽ οὐσίαν ὑπάρχει, ὡς ἐκ τοῦ Πατρός οὐσιωδῶς δι᾽ Υἱοῦ τοῦ γεννηθέντος ἀφράστως ἐκπορευόμενον. Οὐκ ἔστιν οὖν ἐπινοῆσαι τομήν ἤ διαίρεσιν κατ᾽ οὐδένα τρόπον, ὡς ἤ τόν Πατέρα χωρίς τοῦ Υἱοῦ ἐπινοηθῆναι, ἤ τόν Υἱόν χωρίς τοῦ Πνεύματος, ἀλλ᾽ ἔστι τις ἄῤῥητος καί ἀκατανόητος ἐν τούτοις καί ἕνωσις καί διαίρεσις, οὔτε τῆς τῶν ὑποστάσεων διαφορᾶς τό συνεχές τῶν φύσεων [φυσικῶν] διασπώσης, οὔτε τῆς κατά τήν οὐσίαν συναφείας τό ἴδιον τῶν γνωρισμάτων ἀναχεούσης· καί ἔστιν ἐπί τούτων. . . διάκρισις συνημμένη, καί διακεκριμένη συνάφεια. Προκείσεται δέ καί τι πρός ἐπίγνωσιν ἀμυδράν ὑπόδειγμα· μᾶλλον δέ σκιά τῆς ἀληθείας, ἡ πολύχρονος ἶρις. Πάντων γάρ τῶν ἐν ταύτῃ χρωμάτων αἱ αὐγαί, καί διακεκριμέναι φαίνονται, τῷ τηλαυγεῖς εἶναι, καί συνηνῶσθαι δοκοῦσι, τῷ λανθάνειν τάς ὄψεις ἡμῶν τούς ὅρους τῶν μίξεων, τούς διακρίνοντας τάς τῶν χροῶν ἑτερότητας· ὡς ἀμήχανον ἐξευρεῖν, μέχρι τίνος ἕστηκε τό πυραυγές ἤ σμαραγδίζον ταῖς αἴγλαις, ἤ χλοάζον ταῖς λαμπηδόσι [τάς λαμπηδόνας], καί ἐπί τίνος ἄρχεται· παιδεύοντος, οἶμαι, τοῦ, λόγου καί διά τῆς κτίσεως ἡμᾶς, μή καινοπαθεῖν τοῖς περί τῶν δογμάτων λόγοις, ὅταν εἰς τό δυσθεώρητον ἐμπεσόντες, πρός τήν συγκατάθεσιν τῶν λεγομένων ἰλιγγιάσωμεν. Ὡς γάρ ἐπί τῶν τοῖς ὀφθαλμοῖς φαινομένων

* Τό κείμενο προέρχεται ἀπό τήν πατρολογία τοῦ Migne, τόμος 90ος (τό δακτυλογράφησε ἡ μητέρα τοῦ π. Ἀρσενίου Μέσκου), σέ ἀντιπαράθεση μέ τό κείμενο τῶν ἐκδόσεων "ΤΟ ΒΥΖΑΝΤΙΟΝ" τῆς σειρᾶς "ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ" Θεσσαλονίκη 1992, ΦΙΛΟΚΑΛΙΑ ΤΩΝ ΝΗΠΤΙΚΩΝ ΚΑΙ ΑΣΚΗΤΙΚΩΝ, **τόμος 15 Ε**.

κρείττων λόγου ή πεῖρα, οὕτως καί ἐπί τῶν ὑπεραναβεβηκότων δογμάτων κρείττων ή πίστις ἔστω τῆς διά τῶν λογισμῶν καταλήψεως.